Σημειώματα ἐκ

Θουκυδίδου κ' Ἡροδότου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

# ΣΥΛΛΕΚΤΑ

## ΤΩΝ ΘΟΥΚΥΔΙΔΟΥ ΚΑΙ ΗΡΟΔΟΤΟΥ

# ΙΣΤΟΡΙΩΝ,

ΠΡΟΣ ΧΡΗΣΙΝ

ΤΟΥ ΕΝ ΑΙΓΙΝΗΙ ΚΕΝΤΡΙΚΟΥ ΣΧΟΛΕΙΟΥ

ΕΝ ΑΙΓΙΝΗΙ,

ΕΚ ΤΗΣ ΕΘΝΙΚΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ

ΔΙΕΥΘΥΝΟΜΕΝΗΣ ΥΠΟ Γ. ΑΠΟΣΤΟΛΙΔΟΥ ΚΟΣΜΗΤΟΥ.

1832.

ΕΙΣ. Γ. 4332

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ

"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

"Ζωσιμαία" Δημόσια Κεντρική
Βιβλιοθήκη Ιωαννίνων

# ΘΟΥΚΥΔΙΔΟΥ

## ΟΛΟΡΟΥ.

### Α. Ἀρχαῖος βίος Ἑλλήνων.

2. Φαίνεται ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστοι τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό τινων ἀεὶ πλειόνων. Τῆς γὰρ ἐμπορίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι, ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες (ἄδηλον ὂν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται), τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο. Καὶ δι' αὐτὸ, οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ· μάλιστα δὲ τῆς γῆς ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων εἶχεν, ἥ τε νῦν Θεσσαλία καλουμένη, καὶ Βοιωτία, Πελοποννήσου τε τὰ πολλὰ, πλὴν Ἀρκαδίας, τῆς τε ἄλλης ὅσα ἦν κράτιστα· διὰ γὰρ ἀρετὴν γῆς, αἵ τε δυνάμεις τισὶ μείζους ἐγγινόμεναι, στάσεις ἐνεποίουν, ἐξ ὧν ἐφθείροντο, καὶ ἅμα ὑπὸ ἀλλοφύλων μᾶλλον ἐπεβουλεύοντο. Τὴν γοῦν Ἀττικὴν ἐκ τοῦ ἐπιπλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν, ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί· καὶ παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, διὰ τὰς μετοικίας ἐς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι· ἐκ γὰρ τῆς ἄλλης Ἑλλάδος, οἱ πολέμῳ ἢ στάσει ἐκπίπτοντες, παρ' Ἀθηναίους οἱ δυνατώτατοι, ὡς βέβαιον ὂν, ἀνεχώρουν· καὶ πολῖται γιγνόμενοι, εὐθὺς ἀπὸ παλαιοῦ μείζω ἔτι ἐποίησαν πλήθει ἀνθρώπων τὴν πόλιν· ὥστε καὶ ἐς Ἰωνίαν ὕστερον, ὡς οὐχ ἱκανῆς οὔσης τῆς Ἀττικῆς, ἀποικίας ἐξέπεμψαν.

3. Δηλοῖ δέ μοι καὶ τόδε τῶν παλαιῶν ἀσθένειαν οὐχ' ἥκιστα· πρὸ γὰρ τῶν Τρωϊκῶν, οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. Δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπιπλεῖστον ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι. Ἕλληνος δὲ καὶ τῶν παίδων



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

αὐτοῦ ἐν τῇ Φθιώτιδι ἰσχυσάντων, καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλλας πόλεις, καθ' ἑκάςους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας· οὐ μέντοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. Τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος· πολλῷ γὰρ ὕστερος ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν. Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι, καὶ Ἀργείους, καὶ Ἀχαιοὺς ἀνακαλεῖ· οὐ μὴν οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲν Ἕλληνάς πω (ὡς ἐμοὶ δοκεῖ) ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι. Οἱ δ' οὖν ὡς ἕκαςοι Ἕλληνες κατὰ πόλεις τε, ὅσοι ἀλλήλων ξυνίεσαν, καὶ ξύμπαντες ὕςερον κληθέντες, οὐδὲν πρὸ τῶν Τρωϊκῶν δι' ἀσθένειαν καὶ ἀμιξίαν ἀλλήλων ἀθρόοι ἔπραξαν· ἀλλὰ καὶ ταύτην τὴν ςρατείαν, θαλάσσῃ ἤδη τὰ πλείω χρώμενοι, ξυνῆλθον.

4. Μίνως γὰρ παλαίτατος, ὧν ἀκοῇ ἴσμεν, ναυτικὸν ἐκτήσατο, καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖςτον ἐκράτησε, καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε, καὶ οἰκιςὴς πρῶτος τῶν πλείςων ἐγένετο, Κᾶρας ἐξελάσας, καὶ τοὺς ἑαυτοῦ παῖδας ἡγεμόνας ἐγκαταςτήσας· τό, τε λῃςικὸν, ὡς εἰκὸς, καθῄρει ἐκ τῆς θαλάσσης, ἐφ' ὅσον ἠδύνατο, τοῦ τὰς προσόδους μᾶλλον ἰέναι αὐτῷ.

5. Οἱ γὰρ Ἕλληνες τὸ πάλαι, καὶ τῶν Βαρβάρων οἵ τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι, καὶ ὅσοι νήσους εἶχον, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν, ἐπ' ἀλλήλους ἐτράποντο πρὸς λῃςείαν, ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων, κέρδους τοῦ σφετέρου αὐτῶν ἕνεκα, καὶ τοῖς ἀσθενέσι τροφῆς· καὶ προσπίπτοντες πόλεσιν ἀτειχείςοις καὶ κατὰ κώμας οἰκουμέναις ἥρπαζον, καὶ τὸν πλεῖςον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο· οὐκ ἔχοντός πω αἰσχύνην τούτου τοῦ ἔργου, φέροντος δέ τι καὶ δόξης μᾶλλον. Δηλοῦσι δὲ τῶν τε ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος καλῶς τοῦτο δρᾷν· καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύςεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃςαί εἰσιν· ὡς οὔτε ὧν πυνθάνονται ἀπαξιούντων τὸ ἔργον, οἷς τε ἐπιμελὲς εἴη εἰδέναι, οὐκ ὀνειδιζόντων. Ἐλῄζοντο δὲ καὶ κατ' ἤπειρον ἀλλήλους. Καὶ μέχρι τοῦδε πολλὰ τῆς Ἑλλάδος τῷ παλαιῷ τρόπῳ νέμεται, περί τε Λοκροὺς τοὺς Ὀζόλας, καὶ Αἰτωλοὺς, καὶ Ἀκαρνᾶνας, καὶ τὴν ταύτῃ ἤπειρον· τό,τε σιδηροφορεῖσθαι τούτοις τοῖς ἠπειρώταις, ἀπὸ τῆς παλαιᾶς λῃςείας ἐμμεμένηκε.

6. Πᾶσα γὰρ ἡ Ἑλλὰς ἐσιδηροφόρει, διὰ τὰς ἀφράκτους τε οἰκήσεις, καὶ οὐκ ἀσφαλεῖς παρ' ἀλλήλους ἐφόδους· καὶ ξυνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ βάρβαροι. Σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω νεμόμενα τῶν ποτε καὶ ἐς πάντας ὁμοίων διαιτημάτων. Ἐν τοῖς πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο, καὶ ἀνειμένῃ τῇ διαίτῃ ἐς τὸ τρυφερώτερον μετέςησαν·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων, διὰ τὸ ἁβροδίαιτον, οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐν ἔρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν· ἀφ' οὗ καὶ Ἰώνων τοὺς πρεσβυτέρους κατὰ τὸ ξυγγενὲς ἐπιπολὺ αὕτη ἡ σκευὴ κατέσχε. Μετρίᾳ δ' αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι Λακεδαιμόνιοι ἐχρήσαντο, καὶ ἐς τὰ ἄλλα πρὸς τοὺς πολλοὺς οἱ τὰ μείζω κεκτημένοι, ἰσοδίαιτοι μάλιστα κατέστησαν· ἐγυμνώθησάν τε πρῶτοι, καὶ ἐς τὸ φανερὸν ἀποδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο. Τὸ δὲ πάλαι καὶ ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι διαζώματα ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο· καὶ οὐ πολλὰ ἔτη ἐπειδὴ πέπαυται. Ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις ἔστιν οἷς νῦν, καὶ μάλιστα τοῖς Ἀσιανοῖς, πυγμῆς καὶ πάλης ἆθλα τίθεται, καὶ διεζωσμένοι τοῦτο δρῶσι. Πολλὰ δ' ἂν καὶ ἄλλα τις ἀποδείξειε τὸ παλαιὸν Ἑλληνικὸν ὁμοιότροπα τῷ νῦν βαρβαρικῷ διαιτώμενον.

7. Τῶν δὲ πόλεων, ὅσαι μὲν νεώτατα ᾠκίσθησαν, καὶ ἤδη πλωϊμωτέρων ὄντων, περιουσίας μᾶλλον ἔχουσαι χρημάτων, ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς τείχεσιν ἐκτίζοντο· καὶ τοὺς ἰσθμοὺς ἀπελάμβανον, ἐμπορίας τε ἕνεκα, καὶ τῆς πρὸς τοὺς προσοίκους ἕκαστοι ἰσχύος· αἱ δὲ παλαιαί, διὰ τὴν ληστείαν ἐπὶ πολὺ ἀντισχοῦσαν, ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν, αἵτε ἐν ταῖς νήσοις καὶ ἐν ταῖς ἠπείροις· ἔφερον γὰρ ἀλλήλους τε καὶ τῶν ἄλλων ὅσοι ὄντες οὐ θαλάσσιοι κάτω ᾤκουν· καὶ μέχρι τοῦδε ἔτι ἀνῳκισμένοι εἰσί.

8. Καὶ οὐχ ἧσσον λησταὶ ἦσαν οἱ νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες· οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν. Μαρτύριον δέ· Δήλου γὰρ καθαιρομένης ὑπὸ Ἀθηναίων ἐν τῷδε τῷ πολέμῳ, καὶ τῶν θηκῶν ἀναιρεθεισῶν, ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν τῇ νήσῳ, ὑπὲρ ἥμισυ Κᾶρες ἐφάνησαν, γνωσθέντες τῇ τε σκευῇ τῶν ὅπλων ξυντεθαμμένῃ, καὶ τῷ τρόπῳ, ᾧ νῦν ἔτι θάπτουσι. Καταστάντος δὲ τοῦ Μίνω ναυτικοῦ, πλωϊμώτερα ἐγένετο παρ' ἀλλήλους· οἱ γὰρ ἐκ τῶν νήσων κακοῦργοι ἀνέστησαν ὑπ' αὐτοῦ, ὅτε περ καὶ τὰς πολλὰς αὐτῶν κατῴκιζε. Καὶ οἱ παρὰ θάλασσαν ἄνθρωποι, μᾶλλον ἤδη τὴν κτῆσιν τῶν χρημάτων ποιούμενοι, βεβαιότερον ᾤκουν, καί τινες καὶ τείχη περιεβάλλοντο, ὡς πλουσιώτεροι ἑαυτῶν γιγνόμενοι· ἐφιέμενοι γὰρ τῶν κερδῶν, οἵτε ἥσσους ὑπέμενον τὴν τῶν κρεισσόνων δουλείαν, οἵτε δυνατώτεροι περιουσίας ἔχοντες, προσεποιοῦντο ὑπηκόους τὰς ἐλάσσους πόλεις. Καὶ ἐν τούτῳ τῷ τρόπῳ μᾶλλον ἤδη ὄντες, ὑστέρῳ χρόνῳ ἐπὶ Τροίαν ἐστράτευσαν.

9. Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων, καὶ οὐ τοσοῦτον τοῖς Τυνδάρεω ὅρκοις κατειλημμένους τοὺς Ἑλένης μνηστῆρας ἄγων, τὸν στόλον ἀγεῖραι. Λέγουσι δὲ καὶ οἱ τὰ σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον δεδεγμένοι, Πέλοπά τε



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

πρῶτον πλήθει χρημάτων, ἃ ἦλθεν ἐκ τῆς Ἀσίας ἔχων, εἰς ἀνθρώπους ἀπόρους δύναμιν περιποιησάμενον, τὴν ἐπωνυμίαν τῆς χώρας ἐπηλύτην ὄντα ὅμως σχεῖν, καὶ ὕστερον τοῖς ἐκγόνοις ἔτι μείζω ξυνενεχθῆναι, Εὐρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν, κατὰ τὸ οἰκεῖον, Ἀτρεῖ (τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα διὰ τὸν Χρυσίππου θάνατον)· καὶ ὡς οὐκ ἔτι ἀνεχώρησεν Εὐρυσθεὺς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι, καὶ τὸ πλῆθος τεθεραπευκότα, τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχε, τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν, καὶ τῶν Περσειδῶν τοὺς Πελοπίδας μείζους καταςῆναι· ἅ μοι δοκεῖ Ἀγαμέμνων παραλαβὼν, καὶ ναυτικῷ τε ἅμα ἐπιπλέον τῶν ἄλλων ἰσχύσας, τὴν στρατιὰν οὐ χάριτι τὸ πλεῖον ἢ φόβῳ ξυναγαγὼν ποιήσασθαι. Φαίνεται γὰρ ναυσί τε πλείσταις αὐτὸς ἀφικόμενος, καὶ Ἀρκάσι προσπαρασχὼν, ὡς Ὅμηρος τοῦτο δεδήλωκεν, εἴ τῳ ἱκανὸς τεκμηριῶσαι, καὶ ἐν τοῦ σκήπτρου ἅμα τῇ παραδόσει, εἴρηκεν αὐτὸν « ΠΟΛΛΗΙΣΙ ΝΗΣΟΙΣΙ ΚΑΙ ΑΡΓΕΙ ΠΑΝΤΙ ΑΝΑΣΣΕΙΝ. » Οὐκ ἂν οὖν νήσων ἔξω τῶν περιοικίδων (αὗται δὲ οὐκ ἂν πολλαὶ εἴησαν), ἠπειρώτης ὢν ἐκράτει, εἰ μή τι καὶ ναυτικὸν εἶχεν· εἰκάζειν δὲ χρὴ καὶ ταύτῃ τῇ στρατιᾷ, οἷα ἦν τὰ πρὸ αὐτῆς.

10. Καὶ ὅτι μὲν Μυκῆναι μικρὸν ἦν, ἢ εἴ τι τῶν τότε πόλισμα νῦν μὴ ἀξιόχρεων δοκεῖ εἶναι, οὐκ ἀκριβεῖ ἄν τις σημείῳ χρώμενος ἀπιστοίη μὴ γενέσθαι τὸν στόλον τοσοῦτον, ὅσον οἵτε ποιηταὶ εἰρήκασι καὶ ὁ λόγος κατέχει. Λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, λειφθείη δὲ τά τε ἱερὰ καὶ τῆς κατασκευῆς τὰ ἐδάφη, πολλὴν ἂν οἶμαι ἀπιστίαν τῆς δυνάμεως, προελθόντος πολλοῦ χρόνου, τοῖς ἔπειτα πρὸς τὸ κλέος αὐτῶν εἶναι· καί τοι Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμονται, τῆς τε ξυμπάσης ἡγοῦνται, καὶ τῶν ἔξω ξυμμάχων πολλῶν. Ὅμως δὲ οὔτε ξυνοικισθείσης πόλεως, οὔτε ἱεροῖς καὶ κατασκευαῖς πολυτελέσι χρησαμένης, κατὰ κώμας δὲ τῷ παλαιῷ τῆς Ἑλλάδος τρόπῳ οἰκισθείσης, φαίνοιτ' ἂν ὑποδεεστέρα. Ἀθηναίων δὲ τὸ αὐτὸ τοῦτο παθόντων, διπλασίαν τὴν δύναμιν εἰκάζεσθαι ἀπὸ τῆς φανερᾶς ὄψεως τῆς πόλεως ἢ ἔςιν. Οὔκουν ἀπιςεῖν εἰκὸς, οὐδὲ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν, ἢ τὰς δυνάμεις· νομίζειν δὲ τὴν στρατιὰν ἐκείνην, μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην δὲ τῶν νῦν· τῇ Ὁμήρου αὖ ποιήσει εἴτι χρὴ κἀνταῦθα πιστεύειν· ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν ποιητὴν ὄντα κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα. Πεποίηκε γὰρ χιλίων καὶ διακοσίων νεῶν, τὰς μὲν Βοιωτῶν, εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν, τὰς δὲ Φιλοκτήτου, πεντήκοντα, δηλῶν, ὡς ἐμοὶ δοκεῖ, τὰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

μεγίστας καὶ τὰς ἐλαχίστας· ἄλλων γοῦν μεγέθους πέρι ἐν νεῶν καταλόγῳ οὐκ ἐμνήσθη· αὐτερέται δὲ ὅτι ἦσαν καὶ μάχιμοι πάντες, ἐν ταῖς φιλοκτήτου ναυσὶ δεδήλωκε· τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους· περίνεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν, ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει, ἄλλως τε καὶ μέλλοντας πέλαγος περαιώσεσθαι μετὰ σκευῶν πολεμικῶν· οὐδ᾽ αὖ τὰ πλοῖα κατάφρακτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ ληστικώτερον παρεσκευασμένα. Πρὸς τὰς μεγίστας γοῦν καὶ ἐλαχίστας ναῦς τὸ μέσον σκοποῦντι, οὐ πολλοὶ φαίνονται ξυνελθόντες, ὡς ἀπὸ πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι.

11. Αἴτιον δ᾽ ἦν οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον, ὅσον ἡ ἀχρηματία· τῆς γὰρ τροφῆς ἀπορίᾳ, τόν τε στρατὸν ἐλάσσω ἤγαγον, καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν· ἐπειδὴ δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο. Φαίνονται δ᾽ οὐδ᾽ ἐνταῦθα πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χεῤῥονήσου τραπόμενοι καὶ λῃστείαν, τῆς τροφῆς ἀπορίᾳ· ᾗ καὶ μᾶλλον οἱ Τρῶες, αὐτῶν διεσπαρμένων, τὰ δέκα ἔτη ἀντεῖχον, βίᾳ τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες· περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς, καὶ ὄντες ἀθρόοι, ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον· οἵγε καὶ οὐκ ἀθρόοι, ἀλλὰ μέρει τῷ ἀεὶ παρατυχόντι ἀντεῖχον· πολιορκίᾳ δ᾽ ἂν προσκαθεζόμενοι, ἐν ἐλάσσονί τε χρόνῳ, καὶ ἀπονώτερον τὴν Τροίαν εἷλον. Ἀλλὰ δι᾽ ἀχρηματίαν τά τε πρὸ τούτων ἀσθενῆ ἦν, καὶ αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ τοὺς ποιητὰς λόγου κατεσχηκότος.

12. Ἐπεὶ καὶ μετὰ τὰ Τρωϊκὰ ἡ Ἑλλὰς ἔτι μετανίστατό τε καὶ μετῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι· ἥτε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνεόχμωσε, καὶ στάσεις ἐν ταῖς πόλεσιν ὡς ἐπιπολὺ ἐγίγνοντο, ἀφ᾽ ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον. Βοιωτοί τε γὰρ οἱ νῦν, ἑξηκοστῷ ἔτι μετὰ Ἰουλίου ἅλωσιν, ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν, τὴν νῦν μὲν Βοιωτίαν, πρότερον δὲ Καδμηΐδα γῆν καλουμένην ᾤκησαν (ἦν δὲ αὐτῶν καὶ ἀπόδασμος πρότερον ἐν τῇ γῇ ταύτῃ, ἀφ᾽ ὧν καὶ ἐς Ἴλιον ἐστράτευσαν)· Δωριεῖς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον. Μόγις τε ἐν πολλῷ χρόνῳ ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως, καὶ οὐκ ἔτι ἀνισταμένη, ἀποικίας ἐξέπεμψε· καὶ Ἴωνας μὲν Ἀθηναῖοι, καὶ νησιωτῶν τοὺς πολλοὺς ᾤκισαν· Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι, τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία· πάντα δὲ ταῦτα ὕστερον τῶν Τρωϊκῶν ἐκτίσθη.

13. Δυνατωτέρας δὲ γενομένης τῆς Ἑλλάδος, καὶ τῶν χρημά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

των τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης, τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίςαντο, τῶν προσόδων μειζόνων γιγνομένων (πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι)· ναυτικά τε ἐξηρτύετο ἡ Ἑλλας, καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο. Πρῶτοι δὲ Κορίνθιοι λέγονται ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς καὶ τριήρεις ἐν Κορίνθῳ πρῶτον τῆς Ἑλλάδος ναυπηγηθῆναι. Φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς Κορίνθιος ναυπηγὸς, ναῦς ποιήσας τέσσαρας· ἔτη δ' ἐςὶ μάλιστα τριακόσια ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλθε. Ναυμαχία τε παλαιοτάτη, ὧν ἴσμεν, γίγνεται Κορινθίων πρὸς Κερκυραίους· ἔτη μάλιστα καὶ ταύτῃ ἑξήκοντα καὶ διακόσιά ἐςι μέχρι τοῦ αὐτοῦ χρόνου· οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ, ἀεὶ δή ποτε ἐμπόριον εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ τῆς ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων· χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον. Ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον ἐπλωΐζοντο, τὰς ναῦς κτησάμενοι, τὸ λῃςικὸν καθῄρουν· καὶ ἐμπόριον παρέχοντες ἀμφότεροι, δυνατὴν ἔσχον χρημάτων προσόδῳ τὴν πόλιν. Καὶ Ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν ἐπὶ Κύρου, Περσῶν πρώτου βασιλεύοντος, καὶ Καμβύσου τοῦ υἱέως αὐτοῦ· τῆς τε καθ ἑαυτοὺς θαλάσσης Κύρῳ πολεμοῦντες ἐκράτησάν τινα χρόνον. Καὶ Πολυκράτης Σάμου τυραννῶν ἐπὶ Καμβύσου, ναυτικῷ ἰσχύων, ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο, καὶ Ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ. Φωκαεῖς τε Μασσαλίαν οἰκίζοντες, Καρχηδονίους ἐνίκων ναυμαχοῦντες.

14. Δυνατώτατα γὰρ ταῦτα τῶν ναυτικῶν ἦν. Φαίνεται δὲ καὶ ταῦτα πολλαῖς γενεαῖς ὕςερα γενόμενα τῶν Τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα, ὥςπερ ἐκεῖνα. Ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο, καὶ Κερκυραίοις. Ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου ςρατείας ναυτικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέςη. Αἰγινῆται γὰρ καὶ Ἀθηναῖοι καὶ εἴ τινες ἄλλοι, βραχέα ἐκέκτηντο καὶ τούτων τὰ πολλὰ πεντηκοντόρους. Ὀψέ τε ἀφ' οὗ Ἀθηναίους Θεμιςοκλῆς ἔπεισεν Αἰγινήταις πολεμοῦντας, καὶ ἅμα τοῦ βαρβάρου προσδοκίμου ὄντος, τὰς ναῦς ποιήσασθαι, αἷς περ καὶ ἐναυμάχησαν· καὶ αὗται οὔπω εἶχον διὰ πάσης καταςρώματα.

15. Τὰ μὲν οὖν ναυτικὰ τῶν Ἑλλήνων τοιαῦτα ἦν, τά τε παλαιὰ, καὶ τὰ ὕςερον γιγνόμενα· ἰσχὺν δὲ περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσχόντες αὐτοῖς, χρημάτων τε προσόδῳ, καὶ τῶν ἄλλων ἀρχῇ· ἐπιπλέοντες γὰρ τὰς νήσους κατεςρέφοντο, καὶ μάλιςα ὅσοι

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

μὴ διαρκῆ εἶχον χώραν. Κατὰ γῆν δὲ πόλεμος, ὅθεν τις καὶ δύναμις παρεγένετο, οὐδεὶς ξυνέστη· πάντες δὲ ἦσαν, ὅσοι καὶ ἐγένοντο, πρὸς ὁμόρους τοὺς σφετέρους ἑκάστοις. Καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυτῶν ἐπ' ἄλλων καταστροφῇ οὐκ ἐξῄεσαν οἱ Ἕλληνες· οὐ γὰρ ξυνεστήκεσαν πρὸς τὰς μεγίστας πόλεις αἱ ὑπήκοοι, οὐδ' αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο· κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀστυγείτονες ἐπολέμουν· μάλιστα δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων, καὶ τὸ ἄλλο Ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέρων διέστη.

16. Ἐπεγίγνετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι· καὶ Ἴωσι, προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων, Κῦρος καὶ ἡ Περσικὴ βασιλεία, Κροῖσον καθελοῦσα καὶ ὅσα ἐντὸς Ἅλυος ποταμοῦ πρὸς θάλασσαν, ἐπεστράτευσε, καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις ἐδούλωσε· Δαρεῖός τε ὕστερον τῷ Φοινίκων ναυτικῷ κρατῶν, καὶ τὰς νήσους.

17. Τύραννοι δὲ ὅσοι ἦσαν ἐν ταῖς Ἑλληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν μόνον προορώμενοι ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον αὔξειν, δι' ἀσφαλείας ὅσον ἠδύναντο μάλιστα τὰς πόλεις ᾤκουν· ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον· εἰ μὴ εἴτι πρὸς περιοίκους τοὺς αὐτῶν ἑκάστοις· οἱ γὰρ ἐν Σικελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν δυνάμεως. Οὕτω πανταχόθεν ἡ Ἑλλὰς ἐπὶ πολὺν χρόνον κατείχετο, μήτε κοινῇ φανερὸν μηδὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι.

18. Ἐπειδὴ δὲ οἵτε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος, ἐπιπολὺ καὶ πρὶν τυραννευθείσης, οἱ πλεῖστοι καὶ τελευταῖοι, πλὴν τῶν ἐν Σικελίᾳ, ὑπὸ Λακεδαιμονίων κατελύθησαν (ἡ γὰρ Λακεδαίμων μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων ἐπὶ πλεῖστον, ὧν ἴσμεν, χρόνον στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη, καὶ ἀεὶ ἀτυράννευτος ἦν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια καὶ ὀλίγῳ πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου, ἀφ' οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται), καὶ δι' αὐτὸ δυνάμενοι, καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίστασαν. Μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος, οὐ πολλοῖς ἔτεσιν ὕστερον, καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο· δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν, αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθε· καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος, οἵτε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο, δυνάμει προὔχοντες, καὶ οἱ Ἀθηναῖοι, ἐπιόντων τῶν Μήδων, διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀνασκευασάμενοι, ἐς τὰς ναῦς ἐμβάντες, ναυτικοὶ ἐγένοντο. Κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον, ὕστερον οὐ πολλῷ διεκρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

νίους, οἵ τε ἀποστάντες βασιλέως Ἕλληνες, καὶ οἱ ξυμπολεμήσαντες· δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη· ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί· καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία· ἔπειτα δὲ διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι, ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους· καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινές που διασταῖεν, πρὸς τούτους ἤδη ἐχώρουν· ὥστε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πόλεμον, τὰ μὲν σπενδόμενοι, τὰ δὲ πολεμοῦντες ἢ ἀλλήλοις, ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταμένοις, εὖ παρεσκευάσαντο τὰ πολέμια, καὶ ἐμπειρότεροι ἐγένοντο, μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι.

19. Καὶ οἱ μὲν Λακεδαιμόνιοι, οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς ξυμμάχους ἡγοῦντο, κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσωσι θεραπεύοντες. Ἀθηναῖοι δὲ ναῦς τε τῶν πόλεων τῷ χρόνῳ παραλαβόντες, ἦρχον, πλὴν Χίων καὶ Λεσβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες φέρειν· καὶ ἐγένετο αὐτοῖς ἐς τόνδε τὸν πόλεμον ἡ ἰδία παρασκευὴ μείζων, ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας ἤνθησαν.

20. Τὰ μὲν οὖν παλαιὰ, τοιαῦτα εὗρον, χαλεπὰ ὄντα παντὶ ἑξῆς τεκμηρίῳ πιστεῦσαι· οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασανίστως παρ' ἀλλήλων δέχονται. Ἀθηναίων γοῦν τὸ πλῆθος Ἵππαρχον οἴονται ὑφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, τύραννον ὄντα, ἀποθανεῖν· καὶ οὐκ ἴσασιν ὅτι Ἱππίας μὲν πρεσβύτατος ὢν ἦρχε τῶν Πεισιστράτου υἱέων, Ἵππαρχος δὲ καὶ Θεσσαλὸς ἀδελφοὶ ἦσαν αὐτοῦ· ὑποτοπήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων, ἐκ τῶν ξυνειδότων σφίσιν, Ἱππίᾳ μεμηνύσθαι, τοῦ μὲν ἀπέσχοντο, ὡς προειδότος, βουλόμενοι δὲ, πρὶν ξυλληφθῆναι, δράσαντές τι καὶ κινδυνεῦσαι, τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον καλούμενον, τὴν Παναθηναϊκὴν πομπὴν διακοσμοῦντι, ἀπέκτειναν. Πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν ὄντα, καὶ οὐ χρόνῳ ἀμνηστούμενα, καὶ οἱ ἄλλοι Ἕλληνες οὐκ ὀρθῶς οἴονται· ὥσπερ τούς τε Λακεδαιμονίων βασιλέας μὴ μιᾷ ψήφῳ προστίθεσθαι ἑκάτερον, ἀλλὰ δυεῖν· καὶ τὸν Πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε· οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας, καὶ ἐπὶ τὰ ἕτοιμα μᾶλλον τρέπονται.

21. Ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων ὅμως τοιαῦτα ἄν τις νομίζων μάλιστα, ἃ διῆλθον, οὐχ ἁμαρτάνοι· καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν, ἐπὶ τὸ μεῖζον κοσμοῦντες, μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει, ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα, καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα· εὑρῆσθαι δὲ ἡγησάμενος

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐκ τῶν ἐπιφανεςάτων σημείων ὡς παλαιὰ εἶναι, ἀποχρώντως. Καὶ ὁ πόλεμος οὗτος, καί περ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα ἀεὶ μέγιςον κρινόντων, παυσαμένων δὲ, τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ᾽ αὐτῶν τῶν ἔργων σκοποῦσι, δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν.

22. Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαςοι, ἢ μέλλοντες πολεμήσειν, ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ᾽ ἂν ἐδόκουν μοι ἕκαςοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιςα εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται· τὰ δ᾽ ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ, οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν· οὐδ᾽ ὡς ἐμοὶ ἐδόκει, ἀλλ᾽ οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου ἐπεξελθών· ἐπιπόνως δὲ εὑρίσκετο· διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάςοις, οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ᾽ ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχει. Καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν, ἀτερπέςερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ αὖθις, κατὰ τὸ ἀνθρώπειον, τοιούτων ὄντων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ, ἀρκούντως ἕξει. Κτῆμά τε ἐς ἀεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.

23. Τῶν δὲ πρότερον ἔργων μέγιςον ἐπράχθη τὸ Μηδικόν· καὶ τοῦτο ὅμως δυεῖν ναυμαχίαιν καὶ πεζομαχίαιν, ταχεῖαν τὴν κρίσιν ἔςχε· τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προὔβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι, οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ· οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ᾽ ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων (εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι), οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων· καὶ φόνος, ὁ μὲν κατ᾽ αὐτὸν τον πόλεμον, ὁ δὲ, διὰ τὸ ςασιάζειν· τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιουμενα, οὐκ ἄπιςα κατέςη, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖςον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον· ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημονευόμενα ξυνέβησαν· αὐχμοί τε ἔςι παρ᾽ οἷς μεγάλοι, καὶ ἀπ αὐτῶν καὶ λιμοί· καὶ ἡ οὐχ ἥκιςα βλάψασα, καὶ μέρος τι φθείρασα, ἡ λοιμώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα ξυνεπέθετο. Ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν· διότι δ᾽ ἔλυσαν, τὰς αἰτίας ἔγραψα πρῶτον, καὶ τὰς διαφορὰς, τοῦ μή τινας ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέςη· τὴν μὲν γὰρ ἀληθεςάτην πρό-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

φασιν, ἀφανεστάτην δὲ λόγῳ, τοὺς Ἀθηναίους ἡγοῦμαι, μεγάλους γιγνομένους, καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις, ἀναγκάσαι ἐς τὸ πολεμεῖν· αἱ δ᾽ ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι, αἵδ᾽ ἦσαν ἑκατέρων, ἀφ᾽ ὧν λύσαντες τὰς σπονδὰς, ἐς τὸν πόλεμον κατέστησαν.

24. ΕΠΙΔΑΜΝΟΣ ἐστὶ πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον· προσοικοῦσι δ᾽ αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος. Ταύτην ἀπῴκισαν μὲν Κερκυραῖοι, οἰκιστὴς δ᾽ ἐγένετο Φάλιος Ἐρατοκλείδου, Κορίνθιος γένος, τῶν ἀφ᾽ Ἡρακλέους, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς μητροπόλεως κατακληθείς· ξυνῴκισαν δὲ καὶ τῶν Κορινθίων τινὲς, καὶ ἄλλοι ἐκ τοῦ Δωρικοῦ γένους. Προελθόντος δὲ τοῦ χρόνου ἐγένετο ἡ τῶν Ἐπιδαμνίων πόλις μεγάλη καὶ πολυάνθρωπος· στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλὰ, ὡς λέγεται, ὑπὸ πολέμου τινὸς τῶν προσοίκων βαρβάρων ἐφθάρησαν, καὶ τῆς δυνάμεως τῆς πολλῆς ἐστερήθησαν· τὰ δὲ τελευταῖα, πρὸ τοῦδε τοῦ πολέμου, ὁ δῆμος αὐτῶν ἐξεδίωξε τοὺς δυνατούς· οἱ δὲ ἀπελθόντες μετὰ τῶν βαρβάρων ἐλῄζοντο τοὺς ἐν τῇ πόλει κατά τε γῆν καὶ κατὰ θάλασσαν· οἱ δὲ ἐν τῇ πόλει ὄντες Ἐπιδάμνιοι, ἐπειδὴ ἐπιέζοντο, πέμπουσιν ἐς τὴν Κέρκυραν πρέσβεις, ὡς μητρόπολιν οὖσαν, δεόμενοι μὴ σφᾶς περιορᾶν φθειρομένους, ἀλλὰ τούς τε φεύγοντας συναλλάξαι σφίσι, καὶ τὸν τῶν βαρβάρων πόλεμον καταλῦσαι. Ταῦτα δὲ ἱκέται καθεζόμενοι ἐς τὸ Ἡραῖον ἐδέοντο· οἱ δὲ Κερκυραῖοι τὴν ἱκετίαν οὐκ ἐδέξαντο, ἀλλ᾽ ἀπράκτους ἀπέπεμψαν.

25. Γνόντες δὲ οἱ Ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ Κερκύρας τιμωρίαν οὖσαν, ἐν ἀπόρῳ εἴχοντο θέσθαι τὸ παρόν· καὶ πέμψαντες ἐς Δελφοὺς τὸν θεὸν ἐπηρώτων, εἰ παραδοῖεν Κορινθίοις τὴν πόλιν, ὡς οἰκισταῖς, καὶ τιμωρίαν τινὰ πειρῷντ᾽ ἀπ᾽ αὐτῶν ποιεῖσθαι· ὁ δ᾽ αὐτοῖς ἀνεῖλε, παραδοῦναι, καὶ ἡγεμόνας ποιεῖσθαι· ἐλθόντες δὲ οἱ Ἐπιδάμνιοι ἐς τὴν Κόρινθον κατὰ τὸ μαντεῖον παρέδοσαν τὴν ἀποικίαν, τόντε οἰκιστὴν ἀποδεικνύντες σφῶν ἐκ Κορίνθου ὄντα, καὶ τὸ χρηστήριον δηλοῦντες· ἐδέοντό τε μὴ σφᾶς περιορᾶν διαφθειρομένους, ἀλλ᾽ ἐπαμῦναι. Κορίνθιοι δὲ κατά τε τὸ δίκαιον ὑπεδέξαντο τὴν τιμωρίαν, νομίζοντες οὐχ ἧσσον ἑαυτῶν εἶναι τὴν ἀποικίαν, ἢ Κερκυραίων· ἅμα δὲ καὶ μίσει τῶν Κερκυραίων, ὅτι αὐτῶν παρημέλουν ὄντες ἄποικοι· οὔτε γὰρ ἐν πανηγύρεσι ταῖς κοιναῖς διδόντες γέρα τὰ νομιζόμενα, οὔτε Κορινθίῳ ἀνδρὶ προκαταρχόμενοι τῶν ἱερῶν, ὥσπερ αἱ ἄλλαι ἀποικίαι· περιφρονοῦντες δὲ αὐτοὺς, καὶ χρημάτων δυνάμει ὄντες κατ᾽ ἐκεῖνον τὸν χρόνον ὅμοια τοῖς Ἑλλήνων πλουσιωτάτοις, καὶ τῇ ἐς πόλεμον παρασκευῇ δυνατώτεροι· ναυτικῷ δὲ καὶ πολὺ προέχειν ἔστιν ὅτε ἐπαιρόμενοι, καὶ κατὰ τὴν τῶν Φαιάκων προενοίκησιν τῆς Κερκύρας, κλέος ἐχόντων τὰ περὶ τὰς ναῦς· ᾗ καὶ μᾶλλον ἐξηρτύον-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

το τὸ ναυτικὸν, καὶ ἦσαν οὐκ ἀδύνατοι· τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον αὐτοῖς, ὅτε ἤρχοντο πολεμεῖν.

26. Πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ Κορίνθιοι, ἔπεμπον εἰς τὴν Ἐπίδαμνον ἄσμενοι τὴν ὠφέλειαν· οἰκήτορά τε τὸν βουλόμενον ἰέναι κελεύοντες, καὶ Ἀμπρακιωτῶν καὶ Λευκαδίων καὶ ἑαυτῶν φρουρούς. Ἐπορεύθησαν δὲ πεζῇ ἐς Ἀπολλωνίαν, Κορινθίων οὖσαν ἀποικίαν, δέει τῶν Κερκυραίων, μὴ κωλύωνται ὑπ' αὐτῶν κατὰ θάλατταν περαιούμενοι. Κερκυραῖοι δὲ, ἐπειδὴ ᾔσθηντο τούς τε οἰκήτορας καὶ φρουροὺς ἥκοντας ἐς τὴν Ἐπίδαμνον, τήν τε ἀποικίαν Κορινθίοις δεδομένην ἐχαλέπαινον· καὶ πλεύσαντες εὐθὺς πέντε καὶ εἴκοσι ναυσὶ, καὶ ὕςερον ἑτέρῳ ςόλῳ, τούς τε φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτοὺς, (ἦλθον γὰρ ἐς τὴν Κέρκυραν οἱ τῶν Ἐπιδαμνίων φυγάδες, τάφους ἀποδεικνύντες καὶ ξυγγένειαν, ἣν προϊσχόμενοι, ἐδέοντο σφᾶς κατάγειν) τούς τε φρουροὺς, οὓς οἱ Κορίνθιοι ἔπεμψαν, καὶ τοὺς οἰκήτορας ἀποπέμπειν. Οἱ δὲ Ἐπιδάμνιοι οὐδὲν αὐτῶν ὑπήκουσαν, ἀλλὰ ςρατεύουσιν ἐπ' αὐτοὺς οἱ Κερκυραῖοι ναυσὶ τεσσαράκοντα μετὰ τῶν φυγάδων, ὡς κατάξοντες αὐτοὺς, καὶ τοὺς Ἰλλυριοὺς προσλαβόντες· προσκαθεζόμενοι δὲ τῇ πόλει, προεῖπον, Ἐπιδαμνίων τε τὸν βουλόμενον καὶ τοὺς ξένους, ἀπαθεῖς ἀπιέναι· εἰ δὲ μὴ, ὡς πολεμίοις χρήσεσθαι. Ὡς δ' οὐκ ἐπείθοντο, οἱ μὲν Κερκυραῖοι (ἔςι δ' ἰσθμὸς τὸ χωρίον) ἐπολιόρκουν τὴν πόλιν.

27. Κορίνθιοι δ' ὡς αὐτοῖς ἐκ τῆς Ἐπιδάμνου ἦλθον ἄγγελοι ὅτι πολιορκοῦνται, παρεσκευάζοντο ςρατιάν· καὶ ἅμα ἀποικίαν ἐς τὴν Ἐπίδαμνον ἐκήρυσσον, ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βουλόμενον ἰέναι· εἰ δέ τις τοπαραυτίκα μὲν μὴ ἐθέλει ξυμπλεῖν, μετέχειν δὲ βούλεται τῆς ἀποικίας, πεντήκοντα δραχμὰς καταθέντα Κορινθίας, μένειν. Ἦσαν δὲ καὶ οἱ πλέοντες πολλοὶ, καὶ οἱ τὸ ἀργύριον καταβάλλοντες· ἐδεήθησαν δὲ καὶ τῶν Μεγαρέων ναυσὶ σφᾶς ξυμπροπέμψαι, εἰ ἄρα κωλύοιντο ὑπὸ Κερκυραίων πλεῖν. Οἱ δὲ παρεσκευάζοντο αὐτοῖς ὀκτὼ ναυσὶ ξυμπλεῖν· καὶ Παλῆς Κεφαλλήνων, τέσσαρσι· καὶ Ἐπιδαυρίων ἐδεήθησαν, οἳ παρέσχον πέντε· Ἑρμιονῆς δὲ, μίαν· καὶ Τροιζήνιοι, δύο· Λευκάδιοι δὲ, δέκα· καὶ Ἀμπρακιῶται, ὀκτώ. Θηβαίους δὲ χρήματα ᾔτησαν, καὶ Φλιασίους· Ἠλείους τε ναῦς τε κενὰς καὶ χρήματα· αὐτῶν δὲ Κορινθίων νῆες παρεσκευάζοντο τριάκοντα, καὶ τρισχίλιοι ὁπλῖται.

28. Ἐπειδὴ δὲ ἐπύθοντο οἱ Κερκυραῖοι τὴν παρασκευὴν, ἐλθόντες εἰς Κόρινθον μετὰ Λακεδαιμονίων καὶ Σικυωνίων πρέσβεων, οὓς παρέλαβον, ἐκέλευον Κορινθίους τοὺς ἐν Ἐπιδάμνῳ φρουρούς τε καὶ οἰκήτορας ἀπάγειν, ὡς οὐ μετὸν αὐτοῖς Ἐπιδάμνου· εἰ δέ τι ἀντιποιοῦνται, δίκας ἤθελον δοῦναι ἐν Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν ἀμφότεροι ξυμβῶσιν· ὁποτέρων δ' ἂν δικασθῇ εἶναι τὴν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἀποικίαν, τούτους κρατεῖν· ἤθελον δὲ καὶ τῷ ἐν Δελφοῖς μαντείῳ ἐπιτρέψαι· πόλεμον δὲ οὐκ εἴων ποιεῖν· εἰ δὲ μὴ, καὶ αὐτοὶ ἀναγκασθήσεσθαι ἔφασαν, ἐκείνων βιαζομένων, φίλους ποιεῖσθαι, οὓς οὐ βούλονται, ἑτέρους τῶν νῦν ὄντων μᾶλλον, ὠφελείας ἕνεκα. Οἱ δὲ Κορίνθιοι ἀπεκρίναντο αὐτοῖς, ἢν τάς τε ναῦς καὶ τοὺς βαρβάρους ἀπὸ Ἐπιδάμνου ἀπάγωσι, βουλεύσεσθαι· πρότερον δὲ, οὐ καλῶς ἔχειν, τοὺς μὲν πολιορκεῖσθαι, ἑαυτοὺς δὲ δικάζεσθαι. Κερκυραῖοι δὲ ἀντέλεγον, ἢν καὶ ἐκεῖνοι τοὺς ἐν Ἐπιδάμνῳ ἀπάγωσι, ποιήσειν ταῦτα· ἕτοιμοι δὲ εἶναι καὶ ὥστε ἀμφοτέρους μένειν κατὰ χώραν· σπονδὰς δὲ ποιήσασθαι, ἕως ἂν ἡ δίκη γένηται.

29. Κορίνθιοι δὲ οὐδὲν τούτων ὑπήκουον· ἀλλ' ἐπειδὴ πλήρεις αὐτοῖς ἦσαν αἱ νῆες, καὶ οἱ ξύμμαχοι παρῆσαν, προπέμψαντες κήρυκα πρότερον πόλεμον προεροῦντα Κερκυραίοις, ἄραντες ἑβδομήκοντα ναυσὶ καὶ πέντε, δισχιλίοις τε ὁπλίταις, ἔπλεον ἐπὶ τὴν Ἐπίδαμνον, Κερκυραίοις ἐναντία πολεμήσοντες. Ἐστρατήγει δὲ τῶν μὲν νεῶν Ἀριστεὺς ὁ Πελλίκου, καὶ Καλλικράτης ὁ Καλλίου, καὶ Τιμάνωρ ὁ Τιμάνθους· τοῦ δὲ πεζοῦ, Ἀρχέτιμός τε ὁ Εὐρυτίμου, καὶ Ἰσαρχίδας ὁ Ἰσάρχου. Ἐπειδὴ δὲ ἐγένοντο ἐν Ἀκτίῳ τῆς Ἀνακτορίας γῆς, οὗ το ἱερὸν τοῦ Ἀπόλλωνός ἐστιν, ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, οἱ Κερκυραῖοι κήρυκά τε προέπεμψαν αὐτοῖς ἐν Ἀκατίῳ ἀπεροῦντα μὴ πλεῖν ἐπὶ σφᾶς, καὶ τὰς ναῦς ἅμα ἐπλήρουν, ζεύξαντές τε τας παλαιὰς, ὥστε πλωΐμους εἶναι, καὶ τὰς ἄλλας ἐπισκευάσαντες· ὡς δὲ ὁ κήρυξ τε ἀπήγγειλεν οὐδὲν εἰρηναῖον παρὰ τῶν Κορινθίων, καὶ αἱ νῆες αὐτοῖς ἐπεπλήρωντο οὖσαι ὀγδοήκοντα, (τεσσαράκοντα γὰρ Ἐπίδαμνον ἐπολιόρκουν) ἀνταναγαγόμενοι καὶ παραταξάμενοι ἐναυμάχησαν, καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παραπολὺ, καὶ ναῦς πεντεκαίδεκα διέφθειραν τῶν Κορινθίων. Τῇ δὲ αὐτῇ ἡμέρᾳ αὐτοῖς ξυνέβη καὶ τοὺς τὴν Ἐπίδαμνον πολιορκοῦντας παραστήσασθαι ὁμολογίᾳ, ὥστε τοὺς μὲν ἐπήλυδας ἀποδόσθαι, Κορινθίους δὲ δήσαντας ἔχειν, ἕως ἂν ἄλλο τι δόξῃ.

30. Μετὰ δὲ τὴν ναυμαχίαν οἱ Κερκυραῖοι τροπαῖον στήσαντες ἐπὶ τῇ Λευκίμνῃ, τῆς Κερκύρας ἀκρωτηρίῳ, τοὺς μὲν ἄλλους, οὓς ἔλαβον αἰχμαλώτους, ἀπέκτειναν, Κορινθίους δὲ δήσαντες εἶχον· ὕστερον δὲ, ἐπειδὴ οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσημένοι ταῖς ναυσὶν, ἀνεχώρησαν ἐπ' οἴκου, τῆς θαλάσσης ἁπάσης ἐκράτουν τῆς κατ' ἐκεῖνα τὰ χωρία οἱ Κερκυραῖοι, καὶ πλεύσαντες ἐς Λευκάδα τὴν Κορινθίων ἀποικίαν, τῆς γῆς ἔτεμον, καὶ Κυλλήνην τὸ Ἠλείων ἐπίνειον ἐνέπρησαν, ὅτι ναῦς καὶ χρήματα παρέσχον τοῖς Κορινθίοις· τοῦ τε χρόνου τὸν πλεῖστον μετὰ τὴν ναυμαχίαν ἐπεκράτουν τῆς θαλάσσης, καὶ τοὺς τῶν Κορινθίων ξυμμάχους ἐπιπλέοντες ἔφθειρον· μέχρις οὗ Κορίνθιοι περιόντι τῷ θέρει πέμψαντες ναῦς καὶ στρατιὰν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐπεὶ σφῶν οἱ ξύμμαχοι ἐπόνουν, ἐστρατοπεδεύοντο ἐπὶ Ἀκτίῳ, καὶ περὶ τὸ Χειμέριον τῆς Θεσπρωτίδος, φυλακῆς ἕνεκα τῆς τε Λευκάδος καὶ τῶν ἄλλων πόλεων, ὅσαι σφίσι φίλιαι ἦσαν· ἀντεστρατοπεδεύοντο δὲ καὶ οἱ Κερκυραῖοι ἐπὶ τῇ Λευκίμνῃ ναυσί τε καὶ πεζῷ· ἐπέπλεόν τε οὐδέτεροι ἀλλήλοις, ἀλλὰ τὸ θέρος τοῦτο ἀντικαθεζόμενοι, χειμῶνος ἤδη ἀνεχώρησαν ἐπ' οἴκου ἑκάτεροι.

31. Τὸν δ' ἐνιαυτὸν πάντα τὸν μετὰ τὴν ναυμαχίαν, καὶ τὸν ὕστερον, οἱ Κορίνθιοι ὀργῇ φέροντες τὸν πρὸς Κερκυραίους πόλεμον, ἐναυπηγοῦντο, καὶ παρεσκευάζοντο τακράτιστα νεῶν στόλον, ἔκ τε αὐτῆς Πελοποννήσου ἀγείροντες καὶ τῆς ἄλλης Ἑλλάδος ἐρέτας, μισθῷ πείθοντες· πυνθανόμενοι δὲ οἱ Κερκυραῖοι τὴν παρασκευὴν αὐτῶν, ἐφοβοῦντο, καὶ (ἦσαν γὰρ οὐδενὸς Ἑλλήνων ἔνσπονδοι, οὐδὲ ἐπεγράψαντο ἑαυτοὺς οὔτε ἐς τὰς Ἀθηναίων σπονδὰς, οὔτε ἐς τὰς Λακεδαιμονίων) ἔδοξεν αὐτοῖς, ἐλθοῦσιν ὡς τοὺς Ἀθηναίους, ξυμμάχους γενέσθαι, καὶ ὠφέλειάν τινα πειρᾶσθαι ἀπ' αὐτῶν εὑρίσκεσθαι· οἱ δὲ Κορίνθιοι, πειθόμενοι ταῦτα, ἦλθον καὶ αὐτοὶ ἐς τὰς Ἀθήνας πρεσβευσόμενοι, ὅπως μὴ σφίσι πρὸς τῷ Κερκυραίων ναυτικῷ καὶ τὸ αὐτῶν προσγενόμενον, ἐμπόδιον γένηται θέσθαι τὸν πόλεμον ᾗ βούλονται· καταστάσης δὲ ἐκκλησίας, ἐς ἀντιλογίαν ἦλθον· καὶ οἱ μὲν Κερκυραῖοι ἔλεξαν τοιάδε.

32. « ΔΙΚΑΙΟΝ, ὦ Ἀθηναῖοι, τοὺς μήτε εὐεργεσίας μεγάλης, » μήτε ξυμμαχίας προὐφειλομένης, ἥκοντας παρὰ τοὺς πέλας ἐπι- » κουρίας (ὥσπερ καὶ ἡμεῖς νῦν) δεησομένους ἀναδιδάξαι πρῶτον, » μάλιστα μὲν, ὡς καὶ ξύμφορα δέονται· εἰ δὲ μὴ, ὅτι γε οὐκ ἐπιζή- » μια· ἔπειτα δὲ, ὡς καὶ τὴν χάριν βέβαιον ἕξουσιν· εἰ δὲ τούτων μη- » δὲν σαφὲς καταστήσουσι, μὴ ὀργίζεσθαι ἢν ἀτυχῶσι. Κερκυραῖοι δὲ » μετὰ τῆς ξυμμαχίας τῆς αἰτήσεως καὶ ταῦτα πιστεύοντες ἐχυρὰ » ὑμῖν παρέξεσθαι, ἀπέστειλαν ἡμᾶς· τετύχηκε δὲ τὸ αὐτὸ ἐπιτή- » δευμα πρός τε ὑμᾶς ἐς τὴν χρείαν ἡμῖν ἄλογον, καὶ ἐς τὰ ἡμέ- » τερα αὐτῶν ἐν τῷ παρόντι ἀξύμφερον· ξύμμαχοί τε γὰρ οὐδενός » πω ἐν τῷ προτοῦ χρόνῳ ἑκούσιοι γενόμενοι, νῦν ἄλλων τοῦτο δεη- » σόμενοι ἥκομεν, καὶ ἅμα ἐς τὸν παρόντα πόλεμον Κορινθίων ἐρῆ- » μοι δι' αὐτὸ κατέστημεν· καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότε- » ρον σωφροσύνη, τὸ μὴ ἐν ἀλλοτρίᾳ ξυμμαχίᾳ τῇ τοῦ πέλας γνώμῃ » ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη· τὴν μὲν οὖν » γενομένην ναυμαχίαν αὐτοὶ καταμόνας ἀπεωσάμεθα Κορινθίους· » ἐπειδὴ δὲ μείζονι παρασκευῇ ἀπὸ Πελοποννήσου καὶ τῆς ἄλλης » Ἑλλάδος ἐφ' ἡμᾶς ὥρμηνται, καὶ ἡμεῖς ἀδύνατοι ὁρῶμεν ὄντες τῇ » οἰκείᾳ μόνον δυνάμει περιγενέσθαι, καὶ ἅμα μέγας ὁ κίνδυνος εἰ » ἐσόμεθα ὑπ' αὐτοῖς, ἀνάγκη καὶ ὑμῶν καὶ ἄλλου παντὸς ἐπικου- » ρίας δεῖσθαι· καὶ ξυγγνώμη εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον » ἁμαρτίᾳ, τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν. »

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

33. «Γενήσεται δὲ ὑμῖν πειθομένοις καλὴ ἡ ξυντυχία κατὰ πολ- » λὰ τῆς ἡμετέρας χρείας· πρῶτον μὲν, ὅτι ἀδικουμένοις, καὶ οὐχ » ἑτέρους βλάπτουσι, τὴν ἐπικουρίαν ποιήσεσθε· ἔπειτα, περὶ τῶν » μεγίστων κινδυνεύοντας δεξάμενοι, ὡς ἂν μάλιστα μετ' ἀειμνήστου » μαρτυρίου τὴν χάριν κατάθησθε· ναυτικόν τε κεκτήμεθα, πλὴν » τοῦ παρ' ὑμῖν, πλεῖστον· καὶ σκέψασθε τίς εὐπραξία σπανιωτέρα, » ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, εἰ ἣν ὑμεῖς ἂν πολλῶν χρημά- » των καὶ χάριτος ἐτιμήσασθε δύναμιν ὑμῖν προσγενέσθαι, αὕτη » πάρεστιν αὐτεπάγγελτος, ἄνευ κινδύνου καὶ δαπάνης διδοῦσα » ἑαυτήν· καὶ προσέτι φέρουσα ἐς μὲν τοὺς πολλοὺς, ἀρετὴν, οἷς δὲ » ἐπαμυνεῖτε, χάριν, ὑμῖν δ' αὐτοῖς, ἰσχύν· ἃ ἐν τῷ παντὶ χρόνῳ » ὀλίγοις δὴ ἅμα πάντα ξυνέβη· καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι, οἷς » ἐπικαλοῦνται, ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ λη- » ψόμενοι παραγίνονται· τὸν δὲ πόλεμον, δι' ὅνπερ χρήσιμοι ἂν » εἴημεν, εἴ τις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει, καὶ » οὐκ αἰσθάνεται τοὺς Λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμη- » σείοντας, καὶ τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς, καὶ ὑμῖν » ἐχθροὺς ὄντας, καὶ προκαταλαμβάνοντας ἡμᾶς νῦν ἐς τὴν ὑμετέ- » ραν ἐπιχείρησιν, ἵνα μὴ τῷ κοινῷ ἔχθει κατ' αὐτῶν μετ' ἀλλήλων » στῶμεν· μηδὲ δυεῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς, ἢ σφᾶς » αὐτοὺς βεβαιώσασθαι.»

34. «Ὑμέτερον δέ γ' αὖ ἔργον προτερῆσαι, τῶν μὲν, διδόντων, » ὑμῶν δὲ, δεξαμένων τὴν ξυμμαχίαν, καὶ προεπιβουλεύειν αὐτοῖς » μᾶλλον, ἢ ἀντεπιβουλεύειν· ἣν δὲ λέγωσιν ὡς οὐ δίκαιον τοὺς » σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν ὡς πᾶσα ἀποικία, » εὖ μὲν πάσχουσα, τιμᾷ τὴν μητρόπολιν, ἀδικουμένη δὲ, ἀλλοτρι- » οῦται· οὐ γὰρ ἐπὶ τῷ δοῦλοι, ἀλλ' ἐπὶ τῷ ὅμοιοι τοῖς λειπομένοις » εἶναι ἐκπέμπονται· ὡς δὲ ἠδίκουν, σαφές ἐστι· προκληθέντες γὰρ » περὶ Ἐπιδάμνου ἐς κρίσιν, πολέμῳ μᾶλλον, ἢ τῷ ἴσῳ ἠβουλήθη- » σαν τὰ ἐγκλήματα μετελθεῖν· καὶ ὑμῖν ἔσω τι τεκμήριον ἃ πρὸς » ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ' » αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέος μὴ ὑπουργεῖν· ὁ γὰρ ἐλαχίσας » τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις λαμβάνων, » ἀσφαλέστατος ἂν διατελοίη.»

35. «Λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς, δεχόμενοι » ἡμᾶς, μηδετέρων ὄντας ξυμμάχους· εἴρηται γὰρ ἐν αὐταῖς, τῶν » Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ' ὁποτέρους » ἂν ἀρέσκηται ἐλθεῖν· καὶ δεινὸν, εἰ τοῖσδε μὲν ἀπό τε τῶν ἐνσπόν- » δων ἔσται πληροῦν τὰς ναῦς, καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλ- » λάδος, καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπηκόων· ἡμᾶς δὲ » ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι, καὶ ἀπὸ τῆς ἀλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» λοθέν ποθεν ὠφελείας· εἶτα ἐν ἀδικήματι θήσονται, πεισθέν-
» των ὑμῶν, ἃ δεόμεθα· πολὺ δὲ ἐν πλείονι αἰτίᾳ ἡμεῖς μὴ πεί-
» σαντες ὑμᾶς, ἕξομεν· ἡμᾶς μὲν γὰρ κινδυνεύοντας καὶ οὐκ ἐχθροὺς
» ὄντας, ἀπώσεσθε· τῶνδε δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων καὶ
» ἐπιόντων γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύ-
» ναμιν προσλαβεῖν περιόψεσθε, ἣν οὐ δίκαιον· ἀλλ᾽ ἢ κἀκείνων κω-
» λύειν τοὺς ἐκ τῆς ἡμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν,
» καθ᾽ ὅ,τι ἂν πεισθῆτε, ὠφέλειαν· μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς
» δεξαμένους, βοηθεῖν· πολλὰ δὲ, ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν, τὰ ξυμ-
» φέροντα ἀποδείκνυμεν, καὶ μέγιστον, ὅτι οἵ τε αὐτοὶ πολέμιοι ὑμῖν
» ἦσαν (ὅπερ σαφεστάτη πίστις), καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ᾽ ἱκα-
» νοὶ τοὺς μεταστάντας βλάψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος
» τῆς ξυμμαχίας διδομένης, οὐχ ὁμοία ἡ ἀλλοτρίωσις· ἀλλὰ μάλι-
» στα μὲν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς· εἰ δὲ μὴ,
» ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν.»

36. «Καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται,
» δὲ μὴ δι᾽ αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δε-
» διὸς αὐτοῦ ἰσχὺν ἔχον, τοὺς ἐναντίους μᾶλλον φοβῆσον· τὸ δὲ θαρ-
» σοῦν μὴ δεξαμένου, ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς, ἀδε-
» έστερον ἐσόμενον· καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον, ἢ
» καὶ τῶν Ἀθηνῶν βουλευόμενος· καὶ οὐ τὰ κράτιστα αὐταῖς προνο-
» ῶν, ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσονοῦ παρόντα πόλεμον, τὸ αὐτί-
» κα περισκοπῶν, ἐνδοιάζῃ χωρίον προσλαβεῖν, ὃ μετὰ μεγίστων
» καιρῶν οἰκειοῦται καὶ πολεμοῦται· τῆς τε γὰρ Ἰταλίας καὶ Σικε-
» λίας, καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι
» Πελοποννησίοις ἐπελθεῖν, τό,τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμψαι,
» καὶ ἐς τἆλλα ξυμφορώτατόν ἐστι· βραχυτάτῳ δ᾽ ἂν κεφαλαίῳ,
» τοῖς τε ξύμπασι καὶ καθ᾽ ἕκαστον, τῷ δ᾽ ἂν μὴ προέσθαι ἡμᾶς
» μάθοιτε. Τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικὰ, τὸ παρ᾽
» ὑμῖν, καὶ τὸ ἡμέτερον, καὶ τὸ Κορινθίων· τούτων δ᾽ εἰ περιόψεσθε
» τὰ δύο ἐς τὸ αὐτὸ ἐλθεῖν, καὶ Κορίνθιοι ἡμᾶς προκαταλήψονται,
» Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε· δεξάμενοι
» δὲ ἡμᾶς, ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ὑμετέραις ἀγωνί-
» ζεσθαι.» Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ᾽
αὐτοὺς τοιάδε.

37. «ΑΝΑΓΚΑΙΟΝ, Κερκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέ-
» ξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ᾽ ὡς καὶ ἡμεῖς τε ἀδι-
» κοῦμεν, καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον
» καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι,
» ἵνα τὴν ἀφ᾽ ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε, καὶ τὴν τῶνδε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική
Βιβλιοθήκη Ιωαννίνων

» χρείαν μὴ ἀλογίστως ἀπώσησθε. Φασὶ δὲ ξυμμαχίαν, διὰ τὸ σώ-
» φρον, οὐδενός πω δέξασθαι· τὸ δὲ ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ
» ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα
» οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι· καὶ ἡ πόλις
» αὐτῶν, ἅμα αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς
» ὧν βλάπτουσί τινας μᾶλλον ἢ κατὰ ξυνθήκας γίγνεσθαι, διὰ τὸ
» ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας, μάλιστα τοὺς ἄλλους ἀνάγκῃ
» καταίροντας δέχεσθαι· κἀν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον, οὐχ ἵνα
» μὴ ξυναδικῶσιν ἑτέροις προβέβληνται, ἀλλ' ὅπως καταμόνας
» ἀδικῶσι· καὶ ὅπως, ἐν ᾧ μὲν ἂν κρατῶσι, βιάζωνται· οὗ δ' ἂν
» λάθωσι, πλέον ἔχωσιν· ἢν δέ που τι προσλάβωσιν, ἀναισχυντῶσι·
» καίτοι εἰ ἦσαν ἄνδρες (ὥσπερ φασὶν) ἀγαθοὶ, ὅσῳ ἀληπτότεροι
» ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν,
» διδοῦσι καὶ δεχομένοις τὰ δίκαια, δεικνύναι.»

38. « Ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους, οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν·
» ἄποικοι δ' ὄντες, ἀφεστᾶσί τε διὰ παντὸς, καὶ νῦν πολεμοῦσι, λέγον-
» τες ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν· ἡμεῖς δὲ οὐδ'
» αὐτοὶ φαμὲν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ
» τῷ ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα θαυμάζεσθαι. Αἱ γοῦν ἄλλαι
» ἀποικίαι τιμῶσιν ἡμᾶς, καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα· καὶ
» δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμὲν, τοῖσδ' ἂν μόνοις οὐκ
» ὀρθῶς ἀπαρέσκοιμεν· οὐδ' ἐπιστρατεύοιμεν εὐπρεπῶς, μὴ καὶ δια-
» φερόντως τι ἀδικούμενοι. Καλὸν δ' ἦν, εἰ καὶ ἡμαρτάνομεν, τοῖσδε
» μὲν, εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἡμῖν δὲ αἰσχρὸν βιάσασθαι τὴν τού-
» των μετριότητα. Ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου, πολλὰ ἐς ἡμᾶς
» ἄλλα τε ἡμαρτήκασι, καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν, κακουμένην
» μὲν οὐ προσεποιοῦντο· ἐλθόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ, ἑλόντες βίᾳ
» ἔχουσι.»

39. « Καὶ φασὶ δὴ δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι, ἥν γε οὐ
» τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τι, δο-
» κεῖν δεῖ τηρεῖν, ἀλλὰ τὸν ἐς ἴσον τὰ ἔργα ὁμοίως καὶ τοὺς λόγους,
» πρὶν διαγωνίζεσθαι, καθιστάντα. Οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ
» χωρίον, ἀλλ' ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ περιόψεσθαι, τότε καὶ τὸ
» εὐπρεπὲς τῆς δίκης παρέσχοντο. Καὶ δεῦρο ἥκουσιν, οὐ τἀκεῖ μό-
» νον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ ξυμμα-
» χεῖν, ἀλλὰ ξυναδικεῖν. Καὶ διαφόρους ὄντας ἡμῖν, δέχεσθαι σφᾶς·
» οὓς χρῆν, ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ
» ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσι, μηδ' ἐν ᾧ ὑμεῖς τῆς
» τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες, τῆς ὠφελείας νῦν
» μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι, τῆς ἀφ' ἡμῶν
» αἰτίας τὸ ἴσον ἕξετε· πάλαι δὲ κοινώσαντας τὴν δύναμιν, κοινὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» καὶ τὰ ἀποβαίνοντα ἔχειν· ἐγκλημάτων δὲ μόνων ἀμετόχους, οὕτω
» τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν. »

40. « Ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων τῶν τοῦ δικαίου
» κεφαλαίων ἐς ὑμᾶς ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πλεονέ-
» κται εἰσὶ, δεδήλωται· ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε, μα-
» θεῖν χρή. Εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς, ἐξεῖναι παρ' ὁποτέρους
» τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέ-
» ρων ἰοῦσιν ἡ ξυνθήκη ἐςὶν, ἀλλ' ὅςις μὴ ἄλλων ἑαυτὸν ἀποςερῶν,
» ἀσφαλείας δεῖται, καὶ ὅςις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι,
» πόλεμον ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν πά-
» θοιτε ἄν. Οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ
» ἡμῖν ἀντὶ ἐνσπόνδων, πολέμιοι· ἀνάγκη γὰρ, εἰ ἴτε μετ' αὐτῶν,
» και ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. Καί τοι δίκαιοί γ' ἐςὲ, μά-
» λιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις, εἰ δὲ μὴ, τοὐναντίον, ἐπὶ
» τούτους μεθ' ἡμῶν ἰέναι (Κορινθίοις μέν γε ἔνσπονδοι ἐςὲ, Κερ-
» κυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτ' ἐγένεσθε), καὶ τὸν νόμον μὴ
» καθιςάναι, ὥςε τοὺς ἑτέρων ἀφιςαμένους δέχεσθαι. Οὐδὲ γὰρ ἡμεῖς,
» Σαμίων ἀποςάντων, ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλ-
» λων Πελοποννησίων δίχα ἐψηφισμένων, εἰ χρὴ αὐτοῖς ἀμύνειν·
» φανερῶς δὲ ἀντείπομεν, τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα
» κολάζειν. Εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε,
» φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἔλασσω ἡμῖν πρόσεισι, καὶ τὸν
» νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε. »

41. « Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν ἱκανὰ, κατὰ
» τοὺς Ἑλλήνων νόμους. Παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος, τοιάνδε,
» ἣν οὐκ ἐχθροὶ ὄντες ὥςε βλάπτειν, οὐδ' αὖ φίλοι ὥς' ἐπιχρῆσθαι,
» ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι· νεῶν γὰρ μακρῶν
» σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον,
» παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε καὶ
» ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι,
» παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν.
» Καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο, οἷς μάλιςα ἄνθρωποι ἐπ' ἐχθροὺς
» τοὺς σφετέρους ἰόντες, τῶν ἁπάντων ἀπερίοπτοί εἰσι παρα τὸ νι-
» κᾶν. Φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχ-
» θρὸς ᾖ· πολέμιόν τε τὸν ἀντιςάντα, ἢν καὶ τύχῃ φίλος ὤν· ἐπεὶ
» καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φιλονεικίας ἕνεκα τῆς αὐτίκα. »

42. « Ὧν ἐνθυμηθέντες, καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ
» μαθὼν, ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι· καὶ μὴ νομίσῃ δί-
» καια μὲν τάδε λέγεσθαι, ξύμφορα δὲ, εἰ πολεμήσει, ἄλλα εἶναι.
» Τό, τε γὰρ ξυμφέρον, ἐν ᾧ ἄν τις ἐλάχιστα ἁμαρτάνοι, μάλιστα
» ἕπεται· καὶ τὸ μέλλον τοῦ πολέμου (ᾧ φοβοῦντες ὑμᾶς Κερκυ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ραῖοι κελεύουσιν ἀδικεῖν) ἐν ἀφανεῖ ἔτι κεῖται· καὶ οὐκ ἄξιον,
» ἐπαρθέντας αὐτῷ, φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς
» Κορινθίους κτήσασθαι· τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγαρέας
» ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον. Ἡ γὰρ τελευταία χάρις καιρὸν
» ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι· μηδ' ὅτι
» ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε· τὸ γὰρ
» μὴ ἀδικεῖν τοὺς ὁμοίους, ἐχυρωτέρα δύναμις, ἢ τῷ αὐτίκα φανερῷ
» ἐπαρθέντας, διὰ κινδύνων τὸ πλέον ἔχειν.»

43. «Ἡμεῖς δὲ περιπεπτωκότες, οἷς ἐν τῇ Λακεδαίμονι αὐτοὶ
» προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν
» παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ
» ὠφεληθέντας, τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι· τὸ δ' ἴσον ἀνταπόδοτε,
» γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν ἐν ᾧ ὅ,τε ὑπουργῶν, φίλος
» μάλιςα, καὶ ὁ ἀντιςὰς, ἐχθρός. Καὶ Κερκυραίους τε τούσδε, μήτε
» ξυμμάχους δέχησθε βίᾳ ἡμῶν, μήτε ἀμύνητε αὐτοῖς ἀδικοῦσι.
» Καὶ τάδε ποιοῦντες, τὰ προσήκοντά τε δράσετε, καὶ τὰ ἄριστα
» βουλεύσεσθε ὑμῖν αὐτοῖς.» Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

44. Ἀθηναῖοι δὲ, ἀκούσαντες ἀμφοτέρων, γενομένης καὶ δὶς ἐκκλησίας, τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους· ἐν δὲ τῇ ὑςεραίᾳ μετέγνωσαν, Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι, ὥςε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν (εἰ γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαί)· ἐπιμαχίαν δὲ ἐποιήσαντο, τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ, ἢ Ἀθήνας, ἢ τοὺς τούτων ξυμμάχους. Ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος καὶ ὣς ἔσεσθαι αὐτοῖς, καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι τοῖς Κορινθίοις, ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιςα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεςέροις οὖσιν, ἤν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις ναυτικὸν ἔχουσιν, ἐς πόλεμον καθιςῶνται. Ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι.

45. Τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προσεδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων, οὐ πολὺ ὕςερον δέκα ναῦς αὐτοῖς ἀπέςειλαν βοηθούς. Ἐςρατήγει δὲ αὐτῶν Λακεδαιμόνιός τε ὁ Κίμμωνος, καὶ Διότιμος ὁ Στρομβίχου, καὶ Πρωτέας ὁ Ἐπικλέους. Προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι, καὶ μέλλωσιν ἀποβαίνειν, ἢ ἐς τῶν ἐκείνων τι χωρίον· οὕτω δὲ, κωλύειν κατὰ δύναμιν. Προεῖπον δὲ ταῦτα, τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. Αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν.

46. Οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαςο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. Ἦσαν δὲ Ἠλείων μὲν, δέκα,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική
Βιβλιοθήκη Ιωαννίνων

Μεγαρέων δὲ, δώδεκα, καὶ Λευκαδίων, δέκα· Ἀμπρακιωτῶν δὲ, ἑπτὰ καὶ εἴκοσι, καὶ Ἀνακτορίων, μία· αὐτῶν δὲ Κορινθίων, ἐννενήκοντα. Στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάςων, Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους, πέμπτος αὐτός. Ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ, ἀπὸ Λευκάδος πλέοντες, ὁρμίζονται ἐς Χειμεριον τῆς Θεσπρωτίδος γῆς. Ἐςι δὲ λιμὴν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἄπο θαλάσσης, ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίδος Ἐφύρῃ. Ἔξεισι δὲ παρ᾽ αὐτὴν Ἀχερουσία λίμνη ἐς τὴν θάλασσαν· διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτὴν, ἀφ᾽ οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει· ῥεῖ δὲ καὶ Θύαμις ποταμὸς, ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεςρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον. Οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονταί τε καὶ ςρατόπεδον ἐποιήσαντο.

47. Οἱ δὲ Κερκυραῖοι, ὡς ᾔσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης, καὶ Αἰσιμίδης, καὶ Εὐρύβατος, ἐςρατοπεδεύσαντο ἐν μιᾷ τῶν νήσων, αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. Ἐπὶ δὲ τῇ Λευκίμνῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν, καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοηθηκότες. Ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες· οἱ γὰρ ταύτῃ ἠπειρῶται ἀείποτε φίλοι αὐτοῖς εἰσιν.

48. Ἐπειδὴ δὲ παρεσκεύαστο τοις Κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία, ἀνήγοντο ὡς ἐπὶ ναυμαχίᾳ ἀπὸ τοῦ Χειμερίου νυκτός. Καὶ ἅμα ἕῳ πλέοντες, καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ σφᾶς πλεούσας. Ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων, αἱ Ἀττικαὶ νῆες, τὸ δὲ ἄλλο αὐτοὶ ἐπεῖχον, τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε τριῶν ςρατηγῶν ἑκάςου εἷς. Οὕτω μὲν Κερκυραῖοι ἐτάξαντο. Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἱ Μεγαρίδες νῆες εἶχον, καὶ αἱ Ἀμπρακιώτιδες· κατὰ δὲ τὸ μέσον, οἱ ἄλλοι ξύμμαχοι ὡς ἕκαςοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ Κορίνθιοι, ταῖς ἄριςα τῶν νεῶν πλεούσαις, κατὰ τοὺς Ἀθηναίους καὶ τὸ δεξιὸν τῶν Κερκυραίων, εἶχον.

49. Ξυμμίξαντες δὲ, ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυμάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν καταςρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιςὰς, τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. Ἦν τε ἡ ναυμαχία καρτερὰ, τῇ μὲν τέχνῃ, οὐχ ὁμοίως· πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσα, ἐπειδὴ γὰρ προσβάλλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο, ὑπό τε τοῦ πλήθους καὶ ὄχλου τῶν νεῶν, καὶ μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταςρώματος ὁπλίταις ἐς τὴν νίκην, οἱ καταςάντες ἐμάχοντο, ἡσυχαζουσῶν τῶν νεῶν· διέκπλοι δ᾽ οὐκ ἦσαν, ἀλλὰ θυμῷ καὶ ῥώμῃ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Συστημία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τοπλέον ἐναυμάχουν, ἢ ἐπιστήμη. Πανταχῇ μὲν οὖν πολὺς θόρυβος, καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγιγνόμεναι τοῖς Κερκυραίοις, εἴπη πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον, δεδιότες οἱ ϛρατηγοὶ τὴν πρόῤῥησιν τῶν Ἀθηναίων. Μάλιϛα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων ἐπόνει. Οἱ γὰρ Κερκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι, καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον, καὶ μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν, καὶ ἐπεκβάντες, ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους, καὶ τὰ χρήματα διήρπασαν. Ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἡσσῶντό τε, καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν· ᾗ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς Κερκυραίοις τῶν εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. Οἱ δ' Ἀθηναῖοι ὁρῶντες τοὺς Κερκυραίους πιεζομένους, μᾶλλον ἤδη ἀπροφασίϛως ἐπεκούρουν, τὸ μὲν πρῶτον ἀπεχόμενοι, ὥϛε μὴ ἐμβάλλειν τινί· ἐπειδὴ δὲ ἡ τροπὴ ἐγίγνετο λαμπρῶς, καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε δὴ ἔργου πᾶς εἴχετο ἤδη, καὶ διεκέκριτο οὐδὲν ἔτι, ἀλλὰ ξυνέπεσον ἐς τοῦτο ἀνάγκης, ὥϛε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς Κορινθίους καὶ Ἀθηναίους.

50. Τῆς δὲ τροπῆς γενομένης, οἱ Κορίνθιοι τὰ σκάφη μὲν οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν, ἃς καταδύσειαν, πρὸς δὲ τοὺς ἀνθρώπους ἐτράποντο, φονεύειν διεκπλέοντες μᾶλλον ἢ ζωγρεῖν· τούς τε αὐτῶν φίλους (οὐκ ᾐσθημένοι, ὅτι ἥσσηντο οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ) ἀγνοοῦντες ἔκτεινον· πολλῶν γὰρ νεῶν οὐσῶν ἀμφοτέρων, καὶ ἐπιπολὺ τῆς θαλάσσης ἐπεχουσῶν, ἐπειδὴ ξυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν ἐποιοῦντο ὁποῖοι ἐκράτουν, ἢ ἐκρατοῦντο. Ναυμαχία γὰρ αὕτη Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίϛη δὴ τῶν πρὸ αὐτῆς γεγένηται. Ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο· καὶ τῶν πλείϛων ἐκράτησαν, ὥϛε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἱ αὐτοῖς ὁ κατὰ γῆν ϛρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει. Ἔϛι δὲ τὰ Σύβοτα, τῆς Θεσπρωτίδος λιμὴν ἔρημος. Τοῦτο δὲ ποιήσαντες, αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς Κερκυραίοις· οἱ δὲ ταῖς πλωΐμοις, καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν, καὶ αὐτοὶ ἀντεπέπλεον, δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν· ἤδη δὲ ἦν ὀψὲ, καὶ ἐπεπαιώνιϛο αὐτοῖς ὡς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο, κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας· ἃς ὕϛερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι, δείσαντες (ὅπερ ἐγένετο) μὴ νικηθῶσιν οἱ Κερκυραῖοι, καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσι.

51. Ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι, καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι οὐχ ὅσας ἑώρων, ἀλλὰ πλείους, ἐπανεχώρουν· τοῖς δὲ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Κερκυραίοις (ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς) οὐχ ἑωρῶντο, καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους· πρίν τινες ἰδόντες εἶπον, ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσι· τότε δὴ καὶ αὐτοὶ ἀνεχώρουν. Ξυνεσκόταζε γὰρ ἤδη, καὶ οἱ Κορίνθιοι ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. Οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. Τοῖς δὲ Κερκυραίοις ϛρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμνῃ, αἱ εἴκοσι νῆες αἱ ἐκ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων προσκομισθεῖσαι, κατέπλεον ἐς τὸ ϛρατόπεδον, οὐ πολλῷ ὕϛερον ἢ ὤφθησαν· οἱ δὲ Κερκυραῖοι (ἦν γὰρ νὺξ) ἐφοβήθησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν καὶ ὡρμίσαντο.

52. Τῇ δὲ ὑϛεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες καὶ τῶν Κερκυραίων ὅσαι πλώϊμοι ἦσαν, ἐπέπλευσαν ἐπὶ τῶν ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βουλόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν· οἱ δὲ, τὰς μὲν ναῦς ἄραντες ἀπὸ τῆς γῆς, καὶ παραταξάμενοι μετεώρους, ἡσύχαζον, ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγεγενημένας τε ναῦς ἐκ τῶν Ἀθηναίων ἀκραιφνεῖς, καὶ σφίσι πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε πέρι φυλακῆς, οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν, ἐν χωρίῳ ἐρήμῳ· τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν, ὅπη κομισθήσονται, δεδιότες μὴ οἱ Ἀθηναῖοι, νομίσαντες λελύσθαι τὰς σπονδὰς, διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς ἀποπλεῖν.

53. Ἔδοξεν οὖν αὐτοῖς, ἄνδρας ἐς κελήτιον ἐμβιβάσαντας, ἄνευ κηρυκίου προπέμψαι τοῖς Ἀθηναίοις, καὶ πεῖραν ποιήσασθαι· πέμψαντές τε ἔλεγον τοιάδε· « ΑΔΙΚΕΙΤΕ, ὦ ἄνδρες Ἀθηναῖοι, πολέμου » ἄρχοντες, καὶ σπονδὰς λύοντες· ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέ» ρους τιμωρουμένοις ἐμποδὼν ἵϛασθε, ὅπλα ἀνταιρόμενοι· εἰ δ' ὑμῖν » γνώμη ἐϛὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν, ἢ ἄλλοσε, εἴποι βου» λόμεθα, πλεῖν, καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούσδε πρώτους λα» βόντες, χρήσασθε ὡς πολεμίοις. » Οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον, ὅσον ὑπήκουσεν, ἀνεβόησεν εὐθὺς, λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι. Οἱ δὲ Ἀθηναῖοι τοιάδε ἀπεκρίναντο· « ΟΥΤΕ ἄρχομεν πολέμου, ὦ ἄνδρες Πελοποννήσιοι, οὔτε τὰς σπον» δὰς λύομεν· Κερκυραίοις δὲ τοῖσδε ξυμμάχοις οὖσι βοηθοὶ ἤλθομεν. » Εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δὲ ἐπὶ Κέρ» κυραν πλευσεῖσθε, ἢ ἐς τῶν ἐκείνων τι χωρίον, οὐ περιοψόμεθα » κατὰ τὸ δυνατόν. »

54. Τοιαῦτα τῶν Ἀθηναίων ἀποκριναμένων, οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο, καὶ τροπαῖον ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις· οἱ δὲ Κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς, ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ· καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. Γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο. Κορίνθιοι μὲν, κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτὸς, ὥστε καὶ ναυάγια πλεῖστα καὶ νεκροὺς προσκομίσασθαι, καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους οὐκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα, ἔστησαν τροπαῖον· Κερκυραῖοι δὲ, τριάκοντα ναῦς μάλιστα διαφθείραντες, καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ νεκροὺς, καὶ ὅτι αὐτοῖς τῇ τε προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ Κορίνθιοι, ἰδόντες τὰς Ἀττικὰς ναῦς, καὶ ἐπειδὴ ἦλθον οὐκ ἀντέπλεον ἐκ τῶν Συβότων, διὰ ταῦτα τροπαῖον ἔστησαν. Οὕτω μὲν ἑκάτεροι νικᾷν ἠξίουν.

55. Οἱ δὲ Κορίνθιοι ἀποπλέοντες ἐπ' οἴκου, Ἀνακτόριον, ὅ ἐστιν ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, εἷλον ἀπάτῃ (ἦν δὲ κοινὸν Κερκυραίων καὶ ἐκείνων), καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτορας, ἀνεχώρησαν ἐπ' οἴκου· καὶ τῶν Κερκυραίων ὀκτακοσίους μὲν, οἳ ἦσαν δοῦλοι, ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους δήσαντες ἐφύλαττον, καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως αὐτοῖς τὴν Κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν· ἐτύγχανον δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως. Ἡ μὲν οὖν Κέρκυρα οὕτω περιγίγνεται τῷ πολέμῳ τῶν Κορινθίων, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀνεχώρησαν ἐξ αὐτῆς. Αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ πολέμου τοῖς Κορινθίοις ἐς τοὺς Ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κερκυραίων ἐναυμάχουν.

56. Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν· τῶν γὰρ Κορινθίων πρασσόντων, ὅπως τιμωρήσωνται αὐτοὺς, ὑποτοπήσαντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι, Ποτιδαιάτας, οἳ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, ὄντας Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν, καὶ ὁμήρους δοῦναι, τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν, καὶ τολοιπὸν μὴ δέχεσθαι, οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον, δείσαντες μὴ ἀποστῶσιν, ὑπό τε Περδίκκου πειθόμενοι καὶ Κορινθίων, τούς τε ἄλλους τοὺς ἐπὶ Θρᾴκης ξυναποστήσωσι ξυμμάχους.

57. Ταῦτα δὲ πρὸς τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν· οἵ τε γὰρ Κορίνθιοι φανερῶς διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεὺς, ἐπεπολέμωτο, ξύμμαχος πρότερον καὶ φίλος ὤν· ἐπολεμώθη δὲ, ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Δέρδᾳ κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο· δεδιώς τε ἔπρασσεν, ἔς τε τὴν Λακεδαίμονα πέμπων, ὅπως πόλεμος γένηται

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο τῆς Ποτιδαίας ἕνεκα ἀποστάσεως. Προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θρᾴκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι· ὧν οἱ Ἀθηναῖοι αἰσθόμενοι, καὶ βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις (ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποςέλλοντες καὶ χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων δέκα ςρατηγοῦντος) ἐπιςέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν Ποτιδαιατῶν τε ὁμήρους λαβεῖν, καὶ τὸ τεῖχος καθελεῖν, τῶν τε πλησίων πόλεων φυλακὴν ἔχειν, ὅπως μὴ ἀποςήσωνται.

58. Ποτιδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους πρέσβεις, εἴπως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδὲν, ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων, ἔπρασσον ὅπως ἑτοιμάσαιντο τιμωρίαν, ἢν δέῃ. Ἐπειδὴ ἔκ τε Ἀθηναίων ἐκ πολλοῦ πράσσοντες, οὐδὲν εὕροντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες αἱ ἐπὶ Μακεδονίαν καὶ ἐπὶ σφας ὁμοίως ἔπλεον, καὶ τὰ τέλη τῶν Λακεδαιμονίων ὑπέσχοντο αὐτοῖς, ἢν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐςβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται μετὰ Χαλκιδέων καὶ Βοττιαίων, κοινῇ ξυνομόσαντες· καὶ Περδίκκας πείθει Χαλκιδέας, τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας, καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον, μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι· τοῖς τε ἐκλείπουσι τούτοις, τῆς ἑαυτοῦ γῆς τῆς τε Μυγδονίας περὶ τὴν Βόλβην λίμνην ἔδωκε νέμεσθαι, ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. Καὶ οἱ μὲν ἀνῳκίζοντό τε, καθαιροῦντες τὰς πόλεις, καὶ ἐς πόλεμον παρεσκευάζοντο.

59. Αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς τὰ ἐπὶ Θρᾴκης, καὶ καταλαμβάνουσι τήν τε Ποτιδαίαν καὶ τἆλλα ἀφεςηκότα· νομίσαντες δὲ οἱ ςρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει, καὶ τὰ ξυναφεςῶτα χωρία, τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ' ὅπερ καὶ τοπρότερον ἐξεπέμποντο· καὶ καταστάντες, ἐπολέμουν μετὰ Φιλίππου, καὶ τῶν Δέρδου ἀδελφῶν, ἄνωθεν στρατιᾷ ἐςβεβληκότων.

60. Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι, τῆς Ποτιδαίας ἀφεστηκυίας, καὶ τῶν Ἀττικῶν νεῶν περὶ Μακεδονίαν οὐσῶν, δεδιότες περὶ τῷ χωρίῳ, καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι, πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς, καὶ τῶν ἄλλων Πελοποννησίων μισθῷ πείσαντες, ἑξακοσίους καὶ χιλίους τοὺς πάντας ὁπλίτας, καὶ ψιλοὺς τετρακοσίους· ἐςρατήγει δὲ αὐτῶν Ἀριστεὺς ὁ Ἀδειμάντου, κατὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ Κορίνθου στρατιῶται ἐθελονταὶ ξυνέσποντο·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἦν γὰρ τοῖς Ποτιδαιάταις ἀείποτε ἐπιτήδειος· καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ ὕστερον ἐπὶ Θρᾴκης, ᾗ Ποτίδαια ἀπέστη.

61. Ἦλθε δὲ καὶ τοῖς Ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων, ὅτι ἀφεστᾶσι· καὶ πέμπουσιν, ὡς ᾔσθοντο καὶ τοὺς μετὰ Ἀριστέως ἐπιπαρόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας καὶ τεσσαράκοντα ναῦς πρὸς τὰ ἀφεστῶτα, καὶ Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτῶν στρατηγόν· οἳ ἀφικόμενοι ἐς Μακεδονίαν πρῶτον, καταλαμβάνουσι τοὺς προτέρους χιλίους Θέρμην ἄρτι ᾑρηκότας, καὶ Πύδναν πολιορκοῦντας· προσκαθεζόμενοι δὲ καὶ αὐτοί, τὴν Πύδναν ἐπολιόρκησαν μέν, ἔπειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμμαχίαν ἀναγκαίαν πρὸς τὸν Περδίκκαν, ὡς αὐτοὺς κατήπειγεν ἡ Ποτίδαια καὶ ὁ Ἀριστεὺς παρεληλυθώς, ἀπανίστανται ἐκ τῆς Μακεδονίας· καὶ ἀφικόμενοι ἐς Βέῤῥοιαν, κᾀκεῖθεν ἐπιστρέψαντες, καὶ πειράσαντες πρῶτον τοῦ χωρίου, καὶ οὐχ ἑλόντες, ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν, τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων πολλοῖς, ἱππεῦσι δὲ ἑξακοσίοις Μακεδόνων τοῖς μετὰ Φιλίππου καὶ Παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομήκοντα· κατ' ὀλίγον δὲ προϊόντες, τριταῖοι ἀφίκοντο ἐς Γίγωνον, καὶ ἐστρατοπεδεύσαντο.

62. Ποτιδαιάται δὲ καὶ οἱ μετὰ Ἀριστέως Πελοποννήσιοι προσδεχόμενοι τοὺς Ἀθηναίους, ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθῳ ἐν τῷ ἰσθμῷ· καὶ ἀγορὰν ἔξω τῆς πόλεως ἐπεποίηντο. Στρατηγὸν μὲν οὖν τοῦ δὴ πεζοῦ παντὸς οἱ ξύμμαχοι ᾕρηντο Ἀριστέα, τῆς δὲ ἵππου, Περδίκκαν· ἀπέστη γὰρ εὐθὺς πάλιν τῶν Ἀθηναίων, καὶ ξυνεμάχει τοῖς Ποτιδαιάταις, Ἰόλαον ἀνθ' αὐτοῦ καταστήσας ἄρχοντα· ἦν δὲ ἡ γνώμη τοῦ Ἀριστέως, τὸ μὲν μεθ' ἑαυτοῦ στρατόπεδον ἔχοντα ἐν τῷ ἰσθμῷ, ἐπιτηρεῖν τοὺς Ἀθηναίους, ἢν ἐπίωσι· Χαλκιδέας δέ, καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους, καὶ τὴν παρὰ Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν· καὶ ὅταν Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσι, κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. Καλλίας δ' αὖ ὁ τῶν Ἀθηναίων στρατηγός, καὶ οἱ ξυνάρχοντες, τοὺς μὲν Μακεδόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ Ὀλύνθου ἀποπέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν· αὐτοὶ δ' ἀναστήσαντες τὸ ϛρατόπεδον, ἐχώρουν ἐπὶ τὴν Ποτίδαιαν. Καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο, καὶ εἶδον τοὺς ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίσταντο καὶ αὐτοί· καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον· καὶ αὐτὸ μὲν τὸ τοῦ Ἀριστέως κέρας, καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων τε καὶ τῶν ἄλλων λογάδες, ἐτρέψαντο τὸ καθ' ἑαυτούς, καὶ ἐπεξῆλθον διώκοντες ἐπιπολύ· τὸ δὲ ἄλλο στρατόπεδον Ποτιδαιατῶν καὶ Πελοποννησίων ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐς τὸ τεῖχος κατέφυγεν.

63. Ἐπαναχωρῶν δὲ ὁ Ἀριστεὺς ἀπὸ τῆς διώξεως, ὡς ἑώρα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μὲν ὁποτέρωσε διακινδυνεύσει χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου, ἢ ἐς τὴν Ποτίδαιαν. Ἔδοξε γοῦν ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ ὡς εἰς ἐλάχιστον χωρίον δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν· καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς, ὀλίγους μέν τινας ἀποβαλὼν, τοὺς δὲ πλείους σώσας. Οἱ δ' ἀπὸ τῆς Ὀλύνθου τοῖς Ποτιδαιάταις βοηθοὶ (ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους, καὶ ἔστι καταφανὲς) ὡς ἡ μάχη ἐγένετο καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον, ὡς βοηθήσοντες, καὶ οἱ Μακεδόνες ἱππεῖς ἀντιπαρετάξαντο, ὡς κωλύσοντες· ἐπεὶ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο, καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος, καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππεῖς δ' οὐδετέροις παρεγένοντο. Μετὰ δὲ τὴν μάχην, τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις. Ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων, ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δὲ αὐτῶν, πεντήκοντα καὶ ἑκατὸν, καὶ Καλλίας ὁ στρατηγός.

64. Τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ Ἀθηναῖοι ἀποτειχίσαντες ἐφρούρουν· τὸ δ' ἐς τὴν Παλλήνην, ἀτείχισον ἦν· οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν, καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν· δεδιότες μὴ σφίσιν οἱ Ποτιδαιάται καὶ οἱ ξύμμαχοι γιγνομένοις δίχα ἐπίθωνται. Καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν, χρόνῳ ὕστερον πέμπουσιν ἑξακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν, καὶ Φορμίωνα τὸν Ἀσωπίου ϛρατηγόν· ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην, καὶ ἐξ Ἀφύτιος ὁρμώμενος, προσήγαγε τῇ Ποτιδαίᾳ τὸν ϛρατὸν, κατὰ βραχὺ προϊὼν, καὶ κείρων ἅμα τὴν γῆν. Ὡς δὲ οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλλήνης τεῖχος· καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο, καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις.

65. Ἀριϛεὺς δὲ, ἀποτειχισθείσης αὐτῆς, καὶ ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας, ἢν μή τι ἀπὸ Πελοποννήσου, ἢ ἄλλο παράλογον γίγνηται, ξυνεβούλευε μὲν, πλὴν πεντακοσίων, ἄνεμον τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπιπλέον ὁ σῖτος ἀντίσχῃ· καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι. Ὡς δ' οὐκ ἔπειθε, βουλόμενος τὰ ἐπὶ τούτοις παρασκευάζειν, καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριϛα, ἔκπλουν ποιεῖται λαθὼν τὴν φυλακὴν τῶν Ἀθηναίων· καὶ παραμένων ἐν Χαλκιδεῦσι, τά τε ἄλλα ἐπολέμει, καὶ Σερμυλίων λοχήσας πρὸς τῇ πόλει, πολλοὺς διέφθειρεν· ἔς τε τὴν Πελοπόννησον ἔπρασσεν ὅπη ὠφέλειά τις γενήσεται. Μετὰ δὲ τῆς Ποτιδαίας τὴν ἀποτείχισιν,



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Φορμίων μὲν ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους, τὴν Χαλκιδικὴν καὶ Βοττικὴν ἐδῄου, καὶ ἔςιν ἃ καὶ πολίσματα εἷλε.

66. Τοῖς δ᾽ Ἀθηναίοις καὶ Πελοποννησίοις αἰτίαι μὲν αὗται προεγεγένηντο ἐς ἀλλήλους· τοῖς μὲν Κορινθίοις, ὅτι τὴν Ποτίδαιαν, ἑαυτῶν οὖσαν ἀποικίαν, καὶ ἄνδρας Κορινθίων τε καὶ Πελοποννησίων ἐν αὐτῇ ὄντας ἐπολιόρκουν· τοῖς δ᾽ Ἀθηναίοις ἐς τοὺς Πελοποννησίους, ὅτι ἑαυτῶν τε πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέςησαν, καὶ ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ Ποτιδαιατῶν. Οὐ μέντοι ὅγε πόλεμός πω ξυνεῤῥώγει, ἀλλ᾽ ἔτι ἀνακωχὴ ἦν. Ἰδίᾳ γὰρ ταῦτα οἱ Κορίνθιοι ἔπραξαν.

67. Πολιορκουμένης δὲ τῆς Ποτιδαίας, οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων, καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες· παρεκάλουν τε εὐθὺς ἐς τὴν Λακεδαίμονα τοὺς ξυμμάχους, καὶ κατεβόων ἐλθόντες τῶν Ἀθηναίων, ὅτι σπονδάς τε λελυκότες εἶεν, καὶ ἀδικοῖεν τὴν Πελοπόννησον. Αἰγινῆται δὲ φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιςα μετ᾽ αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. Οἱ δὲ Λακεδαιμόνιοι, προσπαρακαλέσαντες τῶν ξυμμάχων τε καὶ εἴτις τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων, ξύλλογον σφῶν αὐτῶν ποιήσαντὲς τὸν εἰωθότα, λέγειν ἐκέλευον. Καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι, καὶ Μεγαρεῖς, δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα, μάλιστα δὲ, λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων ἀρχῇ, καὶ τῆς Ἀττικῆς ἀγορᾶς, παρὰ τὰς σπονδάς. Παρελθόντες δὲ τελευταῖοι Κορίνθιοι, καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξῦναι τοὺς Λακεδαιμονίους, ἐπεῖπον τοιάδε.

68. « ΤΟ ΠΙΣΤΟΝ ὑμᾶς, ὦ Λακεδαιμόνιοι, τῆς καθ᾽ ὑμᾶς αὐτοὺς » πολιτείας καὶ ὁμιλίας ἀπιςοτέρους ἐς τοὺς ἄλλους, ἤν τι λέγωμεν, » καθίςησι· καὶ ἀπ᾽ αὐτοῦ, σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλεί« ονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε· πολλάκις γὰρ προαγορευόντων » ἡμῶν, ἃ ἐμέλλομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδά» σκομεν ἑκάςοτε τὴν μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον » ὑπενοεῖτε, ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι· καὶ δι᾽ αὐ» τὸ οὐ πρὶν πάσχειν, ἀλλ᾽ ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμὲν, τοὺς ξυμμά» χους τούςδε παρεκαλέσατε, ἐν οἷς προσήκει ἡμᾶς οὐχ ἥκιςα εἰπεῖν, « ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν, ὑπὸ μὲν Ἀθηναίων ὑβριζόμε» νοι, ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι. Καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδί» κουν τὴν Ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσέδει· νῦν δὲ » τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν, δεδουλωμένους ὁρᾶτε, τοῖς » δ᾽ ἐπιβουλεύοντας αὐτοὺς, καὶ οὐχ ἥκιστα τοῖς ἡμετέροις ξυμμά» χοις, καὶ ἐκ πολλοῦ προπαρεσκευασμένους, εἴποτε ἄρα πολεμή» σονται; Οὐ γὰρ ἂν Κέρκυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» Ποτίδαιαν ἐπολιόρκουν· ὧν τὸ μὲν, ἐπικαιρότατον χωρίον πρὸς τὰ
» ἐπὶ Θρᾴκης ἐπιχρῆσθαι, ἡ δὲ ναυτικὸν ἂν μέγιστον παρέσχε Πε-
» λοποννησίοις. »

69. « Καὶ τῶνδε ὑμεῖς αἴτιοι, τό, τε πρῶτον ἐάσαντες αὐτοὺς
» τὴν πόλιν μετὰ τὰ Μηδικὰ κρατῦναι, καὶ ὕςερον τὰ μακρὰ ςῆσαι
» τείχη· ἐς τόδε τε ἀεὶ ἀποστεροῦντες οὐ μόνον τοὺς ὑπ' ἐκείνων
» δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμετέρους ἤδη ξυμμά-
» χους· οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περι-
» ορῶν δε, ἀληθέστερον αὐτὸ δρᾷ, εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς
» ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται. Μόλις δὲ νῦν τε ξυνήλθομεν,
» καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς· χρῆν γὰρ οὐκ εἰ ἀδικούμεθα ἔτι σκο-
» πεῖν, ἀλλὰ καθότι ἀμυνούμεθα· οἱ γὰρ δρῶντες βεβουλευμένοι,
» πρὸς οὐ διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες ἐπέρχονται· καὶ ἐπι-
» ςάμεθα οἵᾳ ὁδῷ οἱ Ἀθηναῖοι καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν ἐπὶ τοὺς
» πέλας. Καὶ λανθάνειν μὲν οἰόμενοι, διὰ τὸ ἀναίσθητον ὑμῶν, ἧσσον
» θαῤῥοῦσι· γνόντες δὲ εἰδότας περιορᾶν, ἰσχυρῶς ἐγκείσονται. Ἡσυ-
» χάζετε γὰρ μόνοι Ἑλλήνων, ὦ Λακεδαιμόνιοι, οὐ τῇ δυνάμει τινὰ,
» ἀλλὰ τῇ μελλήσει ἀμυνόμενοι· καὶ μόνοι οὐκ ἀρχομένην τὴν αὔ-
» ξησιν τῶν ἐχθρῶν, διπλασιουμένην δὲ καταλύοντες· καί τοι ἐλέγε-
» σθε ἀσφαλεῖς εἶναι, ὧν ἄρα ὁ λόγος τοῦ ἔργου ἐκράτει. Τόν τε
» γὰρ Μῆδον αὐτοὶ ἴσμεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν Πελο-
» πόννησον ἐλθόντα, ἢ τὰ παρ' ὑμῶν ἀξίως προαπαντῆσαι· καὶ νῦν
» τοὺς Ἀθηναίους οὐχ ἑκὰς, ὥσπερ ἐκείνων, ἀλλ' ἐγγὺς ὄντας, περι-
» ορᾶτε, καὶ ἀντὶ τοῦ ἐπελθεῖν αὐτοὶ, ἀμύνεσθαι βούλεσθε μᾶλλον
» ἐπιόντας, καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρους ἀγωνιζόμενοι
» καταστῆναι· ἐπιστάμενοι καὶ τὸν βάρβαρον αὐτὸν περὶ αὐτῷ τὰ
» πλείω σφαλέντα, καὶ πρὸς αὐτοὺς τοὺς Ἀθηναίους πολλὰ ἡμᾶς ἤδη
» τοῖς ἁμαρτήμασιν αὐτῶν μᾶλλον, ἢ τῇ ἀφ' ὑμῶν τιμωρίᾳ περι-
» γεγενημένους· ἐπεὶ αἵγε ὑμέτεραι ἐλπίδες ἤδη τινάς που καὶ ἀπα-
» ρασκεύους διὰ τὸ πιστεῦσαι ἔφθειραν· καὶ μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ
» τοπλέον, ἢ αἰτίᾳ νομίσῃ τάδε λέγεσθαι· αἰτία μὲν γὰρ, φίλων
» ἀνδρῶν ἐστιν ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων.»

70. « Καὶ ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, νομίζομεν ἄξιοι εἶναι τοῖς
» πέλας ψόγον ἐπενεγκεῖν· ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων
» καθεστώτων, περὶ ὧν οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε, οὐδ'
» ἐκλογίσασθαι πώποτε πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας, καὶ ὅσον
» ὑμῶν καὶ ὡς πᾶν διαφέροντας, ὁ ἀγὼν ἔσται. Οἱ μένγε, νεωτερο-
» ποιοὶ, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ, ὃ ἂν γνῶσιν· ὑμεῖς
» δὲ τὰ ὑπάρχοντά τε σώζειν καὶ ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ οὐδὲ
» τἀναγκαῖα ἐξικέσθαι. Αὖθις δὲ οἱ μὲν, καὶ παρὰ δύναμιν τολμη-
» ταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες·



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» τὸ δὲ ὑμέτερον τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης
» μηδὲ τοῖς βεβαίοις πιστεῦσαι· τῶν τε δεινῶν μηδέποτε οἴεσθαι
» ἀπολυθήσεσθαι. Καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς, καὶ
» ἀποδημηταὶ πρὸς ἐνδημοτάτους. Οἴονται γὰρ οἱ μὲν, τῇ ἀπουσίᾳ
» ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ, τῷ ἐπελθεῖν, καὶ τὰ ἕτοιμα ἂν βλάψαι.
» Κρατοῦντές τε τῶν ἐχθρῶν ἐπὶ πλεῖστον ἐξέρχονται, καὶ νικώμενοι,
» ἐπ' ἐλάχιστον ἀναπίπτουσιν. Ἔτι δὲ, τοῖς μὲν σώμασιν ἀλλοτριω-
» τάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ δὲ γνώμῃ, οἰκειοτάτῃ ἐς
» τὸ πράσσειν τι ὑπὲρ αὐτῆς. Καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπε-
» ξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτή-
» σωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. Ἢν δ' ἄρα
» που καὶ πείρᾳ σφαλῶσιν, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαν τὴν
» χρείαν· μόνοι γὰρ ἔχουσί τε καὶ ὁμοίως ἐλπίζουσιν, ἃ ἂν ἐπινοή-
» σωσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι, ὧν ἂν γνῶσι.
» Καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος
» μοχθοῦσι· καὶ ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων, διὰ τὸ ἀεὶ
» κτᾶσθαι· καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι, ἢ τὸ τὰ δέοντα πρᾶ-
» ξαι· ξυμφοράν τε οὐχ ἧσσον ἡσυχίαν ἀπράγμονα, ἢ ἀσχολίαν
» ἐπίπονον. Ὥστε εἴτις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷ μήτε
» αὐτοὺς ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς
» ἂν εἴποι. »

71. « Ταύτης μέντοι τοιαύτης ἀντικαθεστηκυίας πόλεως, ὦ Λα-
» κεδαιμόνιοι, διαμέλλετε· καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν
» ἀνθρώπων ἐπιπλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια
» πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψον-
» τες· ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε τοὺς ἄλλους, καὶ αὐτοὶ ἀμυνόμενοι
» μὴ βλάπτεσθαι, τὸ ἴσον νέμετε. Μόλις δ' ἂν πόλει ὁμοίᾳ παροι-
» κοῦντες, ἐτυγχάνετε τούτου· νῦν δ' (ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν)
» ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. Ἀνάγκη
» δ' ὥσπερ τέχνης ἀεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυχαζούσῃ
» μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζο-
» μένοις ἰέναι, πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ· διόπερ καὶ τὰ
» τῶν Ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπιπλέον ὑμῶν κεκαίνωται.
» Μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής· νῦν δὲ τοῖς τε
» ἄλλοις, καὶ Ποτιδαιάταις, ὥσπερ ὑπεδέξασθε, βοηθήσατε, κατὰ
» τάχος ἐσβαλόντες ἐς τὴν Ἀττικήν· ἵνα μὴ ἄνδρας τε φίλους καὶ
» ξυγγενεῖς τοῖς ἐχθίστοις πρόησθε, καὶ ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ
» πρὸς ἑτέραν τινὰ ξυμμαχίαν τρέψητε. Δρῶμεν δ' ἂν ἄδικον οὐδὲν
» οὔτε πρὸς θεῶν τῶν ὁρκίων, οὔτε πρὸς ἀνθρώπων τῶν αἰσθανομέ-
» νων· λύουσι γὰρ σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσιόντες,
» ἀλλ' οἱ μὴ βοηθοῦντες, οἷς ἂν ξυνομόσωσι. Βουλομένων δὲ ὑμῶν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική
Βιβλιοθήκη Ιωαννίνων

» προθύμων εἶναι, μένουμεν· οὔτε γὰρ ὅσια ἂν ποιοῖμεν μεταβαλλό-
» μενοι, οὔτε ξυνηθεστέρους ἂν ἄλλους εὕροιμεν. Πρὸς τάδε βουλεύ-
» εσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι,
» ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν. »

72. Τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον· τῶν δὲ Ἀθηναίων, ἔτυχε γὰρ πρεσβεία πρότερον ἐν τῇ Λακεδαίμονι περὶ ἄλλων παροῦσα, καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι, τῶν μὲν ἐγκλημάτων πέρι μηδὲν ἀπολογησομένους, ὧν αἱ πόλεις ἐνεκάλουν, δηλῶσαι δὲ, περὶ τοῦ παντὸς, ὡς οὐ ταχέως αὐτοῖς βουλευτέον εἴη, ἀλλ' ἐν πλέονι σκεπτέον· καὶ ἅμα τὴν σφετέραν πόλιν ἐβούλοντο σημῆναι, ὅση εἴη τὴν δύναμιν, καὶ ὑπόμνησιν ποιήσασθαι τοῖς τε πρεσβυτέροις, ὧν ᾔδεσαν, καὶ τοῖς νεωτέροις ἐξήγησιν, ὧν ἄπειροι ἦσαν· νομίζοντες μᾶλλον αὐτοὺς ἐκ τῶν λόγων πρὸς τὸ ἡσυχάζειν τραπέσθαι, ἢ πρὸς τὸ πολεμεῖν. Προσελθόντες οὖν τοῖς Λακεδαιμονίοις, ἔφασαν βούλεσθαι καὶ αὐτοὶ ἐς τὸ πλῆθος αὐτῶν εἰπεῖν, εἴτι μὴ ἀποκωλύοι. Οἱ δ' ἐκέλευόν τε παριέναι, καὶ παρελθόντες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε.

73. « Η ΜΕΝ πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλογίαν τοῖς ὑμετέ-
» ροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ πόλις ἔπεμψεν. Αἰσθόμε-
» νοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν, παρήλθομεν, οὐ τοῖς
» ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες, (οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν
» οὔτε ἡμῶν, οὔτε τούτων, οἱ λόγοι ἂν γίγνοιντο), ἀλλ' ὅπως μὴ
» ῥᾳδίως περὶ μεγάλων πραγμάτων, τοῖς ξυμμάχοις πειθόμενοι,
» χεῖρον βουλεύσησθε· καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου
» τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι, ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κε-
» κτήμεθα, ἥτε πόλις ἡμῶν ἀξία λόγου ἐστί. Καὶ τὰ μὲν πάνυ πα-
» λαιὰ τί δεῖ λέγειν; ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες, ἢ ὄψεις τῶν
» ἀκουσομένων; τὰ δὲ Μηδικὰ, καὶ ὅσα αὐτοῖς ξύνιστε, εἰ καὶ
» δι' ὄχλου μᾶλλον ἔσται αἰεὶ προβαλλομένοις, ἀνάγκη λέγειν· καὶ
» γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέ-
» ρος μετέσχετε, τοῦ δὲ λόγου, μὴ παντὸς, εἴ τι ὠφελεῖ, στερισκό-
» μεθα· ῥηθήσεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα ἢ μαρτυρίου,
» καὶ δηλώσεως πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλομένοις ὁ ἀγὼν
» καταστήσεται. Φαμὲν γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ
» βαρβάρῳ, καὶ ὅτε τῷ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν
» ἀμύνεσθαι, ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ, ἐν Σαλαμῖνι ξυνναυ-
» μαχῆσαι· ὅπερ ἔσχε μὴ κατὰ πόλεις αὐτὸν ἐπιπλέοντα τὴν Πελο-
» πόννησον πορθεῖν, ἀδυνάτων ὄντων πρὸς ναῦς πολλὰς ἀλλήλοις
» ἐπιβοηθεῖν. Τεκμήριον δὲ μέγιστον αὐτὸς ἐποίησε· νικηθεὶς γὰρ
» ταῖς ναυσὶν, ὡς οὐκέτι αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως, κατὰ
» τάχος τῷ πλέονι τοῦ στρατοῦ ἀνεχώρησε. »

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

74. « Τοιούτου μέντοι τούτου ξυμβάντος, καὶ σαφῶς δηλωθέντος
» ὅτι ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο, τρία τὰ
» ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον,
» καὶ ἄνδρα ςρατηγὸν ξυνετώτατον, καὶ προθυμίαν ἀοκνοτάτην·
» ναῦς μέν γε ἐς τὰς τετρακοσίας, ὀλίγω ἐλάσσους τῶν δύο μοιρῶν·
» Θεμιστοκλέα δὲ ἄρχοντα, ὃς αἰτιώτατος ἐν τῷ ςενῷ ναυμαχῆσαι
» ἐγένετο· ὅπερ σαφέστατα ἔσωσε τὰ πράγματα· καὶ αὐτὸν διὰ τοῦτο
» ὑμεῖς ἐτιμήσατε, μάλιστα δὴ ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων.
» Προθυμίαν δὲ καὶ πολὺ τολμηροτάτην ἐδείξαμεν, οἵ γε, ἐπειδὴ
» ἡμῖν κατὰ γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρις ἡμῶν δου-
» λευόντων, ἠξιώσαμεν, ἐκλιπόντες τὴν πόλιν, καὶ τὰ οἰκεῖα δια-
» φθείραντες, μηδ' ὡς τὸ τῶν περιλοίπων ξυμμάχων κοινὸν προ-
» λιπεῖν, μηδὲ σκεδασθέντες ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ' ἐσβάντες
» ἐς τὰς ναῦς, κινδυνεῦσαι, καὶ μὴ ὀργισθῆναι, ὅτι ἡμῖν οὐ προετι-
» μωρήσατε. Ὥστε φαμὲν οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς, ἢ τυχεῖν
» τούτου. Ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων, καὶ ἐπὶ
» τῷ τὸ λοιπὸν νέμεσθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν καὶ οὐχ ἡμῶν
» τὸ πλέον, ἐβοηθήσατε· ὅτε γοῦν ἦμεν ἔτι σῶοι, οὐ παρεγένεσθε·
» ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι, καὶ ὑπὲρ τῆς ἐν βρα-
» χείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες, ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος, καὶ
» ἡμᾶς αὐτούς. Εἰ δὲ προσεχωρήσαμεν πρότερον τῷ Μήδῳ, δείσαν-
» τες, ὥσπερ καὶ ἄλλοι, περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον
» ἐσβῆναι ἐς τὰς ναῦς, ὡς διεφθαρμένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς, μὴ
» ἔχοντας ναῦς ἱκανὰς, ναυμαχεῖν, ἀλλὰ καθ' ἡσυχίαν ἂν αὐτῷ προ-
» εχώρησε τὰ πράγματα, ᾗ ἐβούλετο. »

75. « Ἆρ' ἄξιοι ἐσμεν, ὦ Λακεδαιμόνιοι, καὶ προθυμίας ἕνεκα
» τῆς τότε, καὶ γνώμης ξυνέσεως, ἀρχῆς τε ἧς ἔχομεν, τοῖς Ἕλλησι
» μὴ οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε ἐλά-
» βομεν οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖναι
» πρὸς τὰ ὑπόλοιπα τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόντων τῶν ξυμ-
» μάχων, καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταςῆναι. Ἐξ αὐτοῦ δὲ τοῦ
» ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προαγαγεῖν αὐτὴν ἐς τόδε,
» μάλιστα μὲν ὑπὸ δέους, ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφε-
» λείας. Καὶ οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι, τοῖς πολλοῖς ἀπηχθημέ-
» νους, καί τινων καὶ ἤδη ἀποστάντων κατεστραμμένων, ὑμῶν τε
» ἡμῖν οὐκέτι ὁμοίως φίλων, ἀλλ' ὑπόπτων καὶ διαφόρων ὄντων,
» ἀνέντας κινδυνεύειν· καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγί-
» γνοντο. Πᾶσι δὲ ἀνεπίφθονον, τὰ ξυμφέροντα τῶν μεγίστων πέρι
» κινδύνων εὖ τίθεσθαι. »

76. « Ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν τῇ Πελοποννήσῳ
» πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταςησάμενοι ἐξηγεῖσθε· καὶ εἰ τότε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» τε ὑπομείναντες διὰ παντὸς ἀπήχθεσθε ἐν τῇ ἡγεμονίᾳ, ὥσπερ
» ἡμεῖς, εὖ ἴσμεν μὴ ἂν ἧσσον ὑμᾶς λυπηροὺς γενομένους τοῖς ξυμ-
» μάχοις, καὶ ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς, ἢ αὐτοὺς κιν-
» δυνεύειν. Οὕτως οὐδ᾽ ἡμεῖς θαυμαςὸν οὐδὲν πεποιήκαμεν, οὐδ᾽ ἀπὸ
» τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδιδομένην ἐδεξάμεθα, καὶ
» ταύτην μὴ ἀνεῖμεν, ὑπὸ τῶν μεγίςων νικηθέντες, τιμῆς, καὶ δέ-
» ους, καὶ ὠφελείας· οὐδ᾽ αὖ πρῶτοι τοῦ τοιούτου ὑπάρξαντες, ἀλλ᾽
» ἀεὶ καθεςῶτος, τὸν ἥσσω ὑπὸ τοῦ δυνατωτέρου κατείργεσθαι· ἄξιοί
» τε ἅμα νομίζοντες εἶναι, καὶ ὑμῖν δοκοῦντες, μέχρις οὗ τὰ ξυμ-
» φέροντα λογιζόμενοι, τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε· ὃν οὐδείς πω,
» παρατυχὸν ἰσχύϊ τι κτήσασθαι, προθεὶς, τοῦ μὴ πλέον ἔχειν ἀπε-
» τράπετο. Ἐπαινεῖσθαί τε ἄξιοι, οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύ-
» σει, ὥςε ἑτέρων ἄρχειν, δικαιότεροι ἢ κατὰ τὴν ὑπάρχουσαν δύ-
» ναμιν γένωνται. Ἄλλους γ᾽ ἂν οὖν οἰόμεθα, τὰ ἡμέτερα λαβόν-
» τας δεῖξαι ἂν μάλιστα εἴτι μετριάζομεν· ἡμῖν δὲ καὶ ἐκ τοῦ
» ἐπιεικοῦς ἀδοξία τοπλέον, ἢ ἔπαινος οὐκ εἰκότως περιέςη.»

77. «Καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς ξυμβολαίαις πρὸς τοὺς
» ξυμμάχους δίκαις, καὶ παρ᾽ ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις νόμοις
» ποιήσαντες τὰς κρίσεις, φιλοδικεῖν δοκοῦμεν. Καὶ οὐδεὶς σκοπεῖ
» αὐτῶν, τοῖς καὶ ἄλλοθί που ἔχουσιν ἀρχὴν, καὶ ἧσσον ἡμῶν
» πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι, διότι τοῦτο οὐκ ὀνειδίζεται·
» βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐδὲν προσδέονται. Οἱ δὲ,
» εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἤν τι παρὰ τὸ μὴ
» οἴεσθαι χρῆναι, ἢ γνώμῃ, ἢ δυνάμει τῇ διὰ τὴν ἀρχὴν, καὶ ὁπω-
» σοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλείονος μὴ ςερισκόμενοι, χάριν ἔχου-
» σιν, ἀλλὰ τοῦ ἐνδεοῦς, χαλεπώτερον φέρουσιν, ἢ εἰ ἀπὸ πρώτης
» ἀποθέμενοι τὸν νόμον, φανερῶς ἐπλεονεκτοῦμεν· ἐκείνως δὲ οὐδ᾽
» ἂν αὐτοὶ ἀντέλεγον ὡς οὐ χρεὼν τὸν ἥσσω τῷ κρατοῦντι ὑποχω-
» ρεῖν. Ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται,
» ἢ βιαζόμενοι· τὸ μὲν γὰρ ἀπὸ τοῦ ἴσου, δοκεῖ πλεονεκτεῖσθαι· τὸ
» δ᾽ ἀπὸ τοῦ κρείττονος, καταναγκάζεσθαι. Ὑπὸ γοῦν τοῦ Μήδου
» δεινότερα τούτων πάσχοντες ἠνείχοντο· ἡ δὲ ἡμετέρα ἀρχὴ, χα-
» λεπὴ δοκεῖ εἶναι, εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις·
» ὑμεῖς γ᾽ ἂν οὖν εἰ καθελόντες ἡμᾶς ἄρξαιτε, τάχα ἂν τὴν εὔνοιαν,
» ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε, μεταβάλοιτε· εἴπερ οἷα καὶ
» τότε πρὸς τὸν Μῆδον δι᾽ ὀλίγου ἡγησάμενοι ἀπεδείξατε, ὅμοια
» καὶ νῦν γνώσεσθε· ἄμικτα γὰρ τά τε καθ᾽ ὑμᾶς αὐτοὺς νόμιμα
» τοῖς ἄλλοις ἔχετε, καὶ προσέτι εἷς ἕκαστος ἐξιὼν, οὔτε τούτοις
» χρῆται, οὔθ᾽ οἷς ἡ ἄλλη Ἑλλὰς νομίζει.»

78. «Βουλεύεσθε οὖν βραδέως, ὡς οὐ περὶ βραχέων· καὶ μὴ
» ἀλλοτρίαις γνώμαις καὶ ἐγκλήμασι πεισθέντες, οἰκεῖον πόνον πρό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» σθησθε. Τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐςὶ, πρὶν ἐν » αὐτῷ γενέσθαι, προδιάγνωτε· μηκυνόμενος γὰρ φιλεῖ ἐς τύχας τὰ » πολλὰ περιΐςασθαι, ὧν ἴσον τε ἀπέχομεν, καὶ ὁποτέρως ἔσται, ἐν » ἀδήλῳ κινδυνεύεται. Ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους, τῶν » ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾷν· κακοπαθοῦντες δὲ » ἤδη, τῶν λόγων ἅπτονται. Ἡμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοιαύτῃ » ἁμαρτίᾳ ὄντες, οὔτ' αὐτοὶ, οὔθ' ὑμᾶς ὁρῶντες, λέγομεν ὑμῖν, ἕως » ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία, σπονδὰς μὴ λύειν, μηδὲ » παραβαίνειν τοὺς ὅρκους· τὰ δὲ διάφορα δίκῃ λύεσθαι κατὰ τὴν » ξυνθήκην· ἢ θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιούμενοι, πειρασόμεθα » ἀμύνεσθαι πολέμου ἄρχοντας ταύτῃ ᾗ ἂν ὑφηγῆσθε. »

79. Τοιαῦτα μὲν οἱ Ἀθηναῖοι εἶπον. Ἐπειδὴ δὲ τῶν ξυμμάχων ἤκουσαν οἱ Λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς Ἀθηναίους, καὶ τῶν Ἀθηναίων ἃ ἔλεξαν, μεταςησάμενοι πάντας, ἐβουλεύοντο κατὰ σφᾶς αὐτοὺς, περὶ τῶν παρόντων. Καὶ τῶν μὲν πλεόνων ἐπὶ τὸ αὐτὸ αἱ γνῶμαι ἔφερον, ἀδικεῖν τε τοὺς Ἀθηναίους ἤδη, καὶ πολεμητέα εἶναι ἐν τάχει· παρελθὼν δὲ Ἀρχίδαμος ὁ βασιλεὺς αὐτῶν, ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεξε τοιάδε.

80. « ΚΑΙ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι, ὦ Λακε» δαιμόνιοι, καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ· ὥστε μήτε » ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ ἔργου (ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν) » μήτε ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. Εὕροιτε δ' ἂν τὸν πόλεμον » τόνδε, περὶ οὗ νῦν βουλεύεσθε, οὐκ ἂν ἐλάχιστον γενόμενον, εἰ » σωφρόνως τις αὐτὸν ἐκλογίζοιτο· πρὸς μὲν γὰρ τοὺς Πελοποννη» σίους καὶ τοὺς ἀςυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκὴ, καὶ διὰ τα» χέων οἷόν τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας, οἳ γῆν τε ἑκὰς » ἔχουσι, καὶ προσέτι θαλάσσης ἐμπειρότατοί εἰσι, καὶ τοῖς ἄλλοις » ἅπασιν ἄριςα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ, καὶ ναυσὶ, » καὶ ἵπποις, καὶ ὅπλοις, καὶ ὄχλῳ, ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ » Ἑλληνικῷ ἐστιν· ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς » ἔχουσι· πῶς χρὴ πρὸς τούτους ῥᾳδίως πόλεμον ἄρασθαι, καὶ τίνι » πιστεύσαντας, ἀπαρασκεύους ἐπειχθῆναι; πρότερον ταῖς ναυσίν; » ἀλλ' ἥσσους ἐσμέν· εἰ δὲ μελετήσομεν, καὶ ἀντιπαρασκευασθησό» μεθα, χρόνος ἐνέσται· ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ πολλῷ ἔτι πλέον » τούτου ἐλλείπομεν, καὶ οὔτε ἐν κοινῷ ἔχομεν, οὔτε ἑτοίμως ἐκ τῶν » ἰδίων φέρομεν. »

81. « Τάχ' ἄν τις θαρσοίη, ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ πλή» θει ὑπερφέρομεν, ὥστε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες· τοῖς δὲ, ἄλλη » γῆ ἐςι πολλὴ, ἧς ἄρχουσι, καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξον» ται· εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφιςάναι πειρασόμεθα, δεήσει καὶ » τούτοις ναυσὶ βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. Τίς οὖν ἔςαι ἡμῶν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ὁ πόλεμος; εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν, ἢ τὰς προσόδους ἀφαιρήσομεν, ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα ταπλέω. Κἂν τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλόν· ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. Μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα, ὡς ταχὺ παυθήσεται ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τάμωμεν· δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπολίπωμεν. Οὕτως εἰκὸς Ἀθηναίους φρονήματι, μήτε τῇ γῇ δουλεῦσαι, μήτε ὥσπερ ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ. »

82. « Οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾷν βλάπτειν, καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾷν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι μήτε πόλεμον ἄγαν δηλοῦντας, μήθ' ὡς ἐπιτρέψομεν· κἂν τούτῳ καὶ τὰ ἡμέτερα αὐτῶν ἐξαρτύεσθαι, ξυμμάχων τε προσαγωγῇ καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προσληψόμεθα. Ἀνεπίφθονον δὲ, ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα, μὴ Ἕλληνας μόνον, ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασωθῆναι· καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. Καὶ ἢν μὲν ἐπακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριςα· ἢν δὲ μὴ, διελθόντων ἐτῶν δύο καὶ τριῶν, ἄμεινον ἤδη, ἢν δοκῇ, πεφραγμένοι, ἴμεν ἐπ' αὐτούς. Καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν, καὶ τοὺς λόγους αὐτῇ ὅμοια ὑποσημαίνοντας, μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες, καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευόμενοι. Μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν· καὶ οὐχ ἧσσον, ὅσῳ ἄμεινον ἐξείργασαι· ἧς φείδεσθαι χρὴ ὡς ἐπιπλεῖςον, καὶ μὴ ἐς ἀπόνοιαν καταςήσαντας αὐτοὺς, ἀληπτοτέρους ἔχειν. Εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες, τεμοῦμεν αὐτὴν, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξωμεν. Ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθότι χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι. »

83. « Καὶ ἀνανδρία μηδενὶ, πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελθεῖν, δοκείτω εἶναι· εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους χρήματα φέροντες ξύμμαχοι· καὶ ἔςιν ὁ πόλεμος οὐχ ὅπλων τοπλέον, ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε καὶ ἠπειρώταις πρὸς θαλασσίους. Πορισώμεθα οὖν πρῶτον αὐτὴν, καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα. Οἵπερ δὲ καὶ τῶν ἀποβαινόντων τοπλέον ἐπὶ ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προΐδωμεν. »

84. « Καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» μὴ αἰσχύνεσθε. Σπεύδοντές τε γὰρ, σχολαίτερον ἂν παύσαισθε,
» διὰ τὸ ἀπαρασκευοι ἐγχειρεῖν, καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην
» πόλιν διὰ παντὸς νεμόμεθα. Καὶ δύναται μάλιστα σωφροσύνη
» ἔμφρων τοῦτ' εἶναι· μόνοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρί-
» ζομεν, καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ
» ἐποτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ, παρὰ τὸ δοκοῦν ἡμῖν, οὐκ ἐπαι-
» ρόμεθα ἡδονῇ. Καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν δὴ
» μᾶλλον ἀχθεσθέντες ἀνεπείσθημεν. Πολεμικοί τε καὶ εὔβουλοι διὰ
» τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν, ὅτι αἰδὼς σωφροσύνης πλεῖστον
» μετέχει, αἰσχύνης δὲ εὐψυχία· εὔβουλοι δὲ, ἀμαθέστεροι τῶν νό-
» μων τῆς ὑπεροψίας παιδευόμενοι, καὶ ξὺν χαλεπότητι σωφρονέ-
» στερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν. Καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ἄγαν
» ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι,
» ἀνομοίως ἔργῳ ἐπεξιέναι· νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας
» παραπλησίους εἶναι, καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαι-
» ρετάς. Ἀεὶ δὲ ὡς πρὸς εὖ βουλομένους τοὺς ἐναντίους ἔργῳ παρα-
» σκευαζόμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ
» τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων. Πολύ τε
» διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἀνθρώπου, κράτιστον δὲ εἶναι
» ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται. »

85. « Ταύτας οὖν ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας,
» καὶ αὐτοὶ διαπαντὸς ὠφελούμενοι ἔχομεν, μὴ παρῶμεν, μηδ' ἐπει-
» χθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας, περὶ πολλῶν σωμάτων, καὶ
» χρημάτων, καὶ πόλεων, καὶ δόξης, βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυ-
» χίαν. Ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων, διὰ ἰσχύν. Καὶ πρὸς τοὺς Ἀθη-
» ναίους πέμπετε μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ
» ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν
» δίκας δοῦναι. Ἐπὶ δὲ τὸν διδόντα οὐ πρότερον νόμιμον ὡς ἐπ' ἀδι-
» κοῦντα ἰέναι. Παρασκευάζεσθε δὲ τον πόλεμον ἅμα. Ταῦτα γὰρ
» καὶ κράτιστα βουλεύεσθε, καὶ τοῖς ἐναντίοις φοβερώτατα. » Καὶ ὁ
μὲν Ἀρχίδαμος τοιαῦτα εἶπε· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος,
εἷς τῶν ἐφόρων τότε ὢν, ἔλεξε τοῖς Λακεδαιμονίοις ὧδε.

86. « ΤΟΥΣ μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώ-
» σκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς, οὐδαμοῦ ἀντεῖπον, ὡς οὐκ
» ἀδικοῦσι τοὺς ἡμετέρους ξυμμάχους, καὶ τὴν Πελοπόννησον·
» καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς
» κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοί εἰσιν, ὅτι ἀντ' ἀγαθῶν κακοὶ
» γεγένηνται· ἡμεῖς δὲ ὅμοιοι καὶ τότε καὶ νῦν ἐσμεν, καὶ τοὺς
» ξυμμάχους, ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικουμένους, οὐδὲ
» μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. Ἄλλοις
» μὲν γὰρ χρήματά ἐστι πολλὰ, καὶ νῆες, καὶ ἵπποι· ἡμῖν δὲ, ξύμμαχοι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ἀγαθοὶ, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστὶν, οὐδὲ δίκαις καὶ » λόγοις διακριτέα, μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους· ἀλλὰ τιμωρητέα ἐν τάχει, καὶ παντὶ σθένει. Καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι » ἀδικουμένους, μηδεὶς διδασκέτω· ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν » μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. Ψηφίζεσθε οὖν, ὦ » Λακεδαιμόνιοι, ἀξίως τῆς Σπάρτης τὸν πόλεμον καὶ μήτε τοὺς » Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν ἐπὶ τοὺς ἀδικοῦντας.»

87. Τοιαῦτα λέξας, ἐπεψήφιζεν αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκκλησίαν τῶν Λακεδαιμονίων· ὁ δὲ (κρίνουσι γὰρ βοῇ, καὶ οὐ ψήφῳ) οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην, ἐς τὸ πολεμεῖν μᾶλ- » λον ὁρμῆσαι, ἔλεξεν· «Ὅτῳ μὲν ὑμῶν, ὦ Λακεδαιμόνιοι, δοκοῦσι » λελύσθαι αἱ σπονδαὶ, καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο » τὸ χωρίον (δείξας τι χωρίον αὐτοῖς)· ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ » ἐπὶ θάτερα.» Ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. Προσκαλέσαντές τε τοὺς ξυμμάχους, εἶπον· «Ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλε- » σθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες, ψῆφον » ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι, τὸν πόλεμον ποιῶνται, ἢν » δοκῇ.» Καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου διαπραξάμενοι ταῦτα· καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον, ἐφ' ἅπερ ἦλθον χρηματίσαντες. Ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν, αἳ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

88. Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι, καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθηναίους, μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα.

89. Οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν. Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπ' Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου, ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι, καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν, Μήδων ἐχόντων· καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν, ἐκλιπόντων τῶν βαρβάρων· καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. Ἀθηναίων δὲ τὸ κοινὸν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς, ὅθεν ὑπεξέθεντο παῖδας, καὶ γυναῖκας,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

καὶ τὴν περιοῦσαν κατασκευὴν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρε-σκευάζοντο, καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι, αἱ μὲν πολλαὶ ἐπεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

90. Λακεδαιμόνιοι δὲ, αἰσθόμενοι τὸ μέλλον, ἦλθον ἐς πρεσβείαν, τὰ μὲν, καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήποτ᾽ ἐκείνους, μήτε ἄλλον μηδένα τεῖχος ἔχοντα· τὸ δὲ πλέον, τῶν ξυμμάχων ἐξοτρυνόντων, καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὼην οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. Ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον, ὅσοις ξυνειστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους· τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπὸ ἐχυροῦ ποθὲν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἀναχώρησίν τε καὶ ἀφορμὴν ἱκανὴν εἶναι. Οἱ δ᾽ Ἀθηναῖοι, Θεμιστοκλέους γνώμῃ, τοὺς μὲν Λακεδαιμονίους ταῦτ᾽ εἰπόντας, ἀποκρινάμενοι, ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπήλλαξαν· ἑαυτὸν δ᾽ ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις, μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ᾽ ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν ἱκανὸν τὸ τεῖχος αἴρωσιν, ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους. Τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει, καὶ αὐτοὺς, καὶ γυναῖκας, καὶ παῖδας, φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος, ὅθεν τις ὠφέλειά ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. Καὶ ὁ μὲν ταῦτα διδάξας, καὶ ὑπειπὼν τὰ ἄλλα, ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο· καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν, οὐ προσῄει πρὸς τὰς ἀρχὰς, ἀλλὰ διῆγε, καὶ προὐφασίζετο· καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅτι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινὸν, ἔφη· « Τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχο-» λίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι· προσδέχεσθαι μέντοι ἐν » τάχει ἥξειν, καὶ θαυμάζειν, ὡς οὔπω πάρεισιν. »

91. Οἱ δὲ ἀκούοντες, τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο, διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων ἀφικνουμένων, καὶ σαφῶς κατηγορούντων, ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. Γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες χρηστοὶ, καὶ πιστῶς ἀναγγελοῦσι σκεψάμενοι. Ἀποστέλλουσιν οὖν· καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει, κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν, καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν. Ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἀβρώνυχός τε ὁ Λυσικλέους, καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος. Ἐφοβεῖτο γὰρ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν.
Οἵτε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις, ὥσπερ ἐπεςάλη, κατεῖχον· καὶ ὁ Θε-
μιςοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις, ἐνταῦθα δὴ φανερῶς εἶπεν·
« Ὅτι ἡ μὲν πόλις σφῶν τετείχιςαι ἤδη, ὥςε ἱκανὴ εἶναι σώζειν
» τοὺς ἐνοικοῦντας ἐν αὐτῇ. Εἰ δέ τι βούλονται Λακεδαιμόνιοι, ἢ οἱ
» ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας
» τολοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. Τήν τε
» γὰρ πόλιν, ὅτε ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι, καὶ ἐς τὰς ναῦς ἐσβῆ-
» ναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι· καὶ ὅσα αὖ μετ' ἐκεί-
» νων βουλεύεσθαι, οὐδενὸς ὕςεροι γνώμῃ φανῆναι. Δοκεῖν οὖν σφί-
» σι καὶ νῦν ἄμεινον εἶναι, τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ
» τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφελιμώτερον ἔσε-
» σθαι· οὐ γὰρ οἷόν τ' εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὅμοιόν τι
» ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. Ἢ πάντας οὖν ἀτειχίςους ἔφη
» χρῆναι ξυμμαχεῖν, ἢ καὶ τάδε νομίζειν ὀρθῶς ἔχειν. »

92. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες, ὀργὴν μὲν φανερὰν οὐκ
ἐποιοῦντο τοῖς Ἀθηναίοις (οὐ δὲ γὰρ ἐπὶ κωλύμῃ, ἀλλὰ γνώμης
παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο· ἅμα δὲ καὶ προσφιλεῖς
ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν μάλιςα αὐτοῖς
ἐτύγχανον)· τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες, ἀδήλως ἤχθοντο.
Οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

93. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ
χρόνῳ. Καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐςιν ὅτι κατὰ σπουδὴν ἐγένετο·
οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται, καὶ οὐ ξυνειργασμένων
ἔςιν ᾗ, ἀλλ' ὡς ἕκαςοί ποτε προσέφερον. Πολλαί τε ςῆλαι ἀπὸ σημάτων
καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν· μείζων γὰρ ὁ περίβολος παν-
ταχῇ ἐξήχθη τῆς πόλεως. Καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες,
ἠπείγοντο. Ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ Θεμιςοκλῆς οἰκο-
δομεῖν· ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς ἐκείνου ἀρχῆς, ἧς κατ'
ἐνιαυτὸν Ἀθηναίοις ἦρξε. Νομίζων τό, τε χωρίον καλὸν εἶναι, λιμένας
ἔχον τρεῖς αὐτοφυεῖς, καὶ αὐτοὺς ναυτικοὺς γεγενημένους, μέγα προ-
φέρειν ἐς τὸ κτήσασθαι δύναμιν. Τῆς γὰρ δὴ θαλάσσης πρῶτος
ἐτόλμησεν εἰπεῖν ὡς ἀνθεκτέα ἐςί, καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατε-
σκεύαζε. Καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους,
ὅπερ νῦν ἔτι δῆλόν ἐςι περὶ τὸν Πειραιᾶ· δύο γὰρ ἅμαξαι ἐναντίαι
ἀλλήλαις τοὺς λίθους ἐπῆγον. Ἐντὸς δὲ οὔτε χάλιξ, οὔτε πηλὸς ἦν,
ἀλλα ξυνῳκοδομημένοι μεγάλοι λίθοι καὶ ἐν τομῇ ἐγγώνιοι, σιδήρῳ
πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ δεδεμένοι. Τὸ δὲ ὕψος ἥμισυ
μάλιςα ἐτελέσθη οὗ διενοεῖτο· ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πά-
χει ἀφιςάναι τὰς τῶν πολεμίων ἐπιβολάς· ἀνθρώπων τε ἐνόμιζεν
ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακήν, τοὺς δ' ἄλλους

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐς τὰς ναῦς ἐσβήσεσθαι. Ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο· ἰδὼν, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως. Καὶ πολλάκις τοῖς Ἀθηναίοις παρῄνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτὸν, ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν, καὶ τἄλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

94. Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου. Ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ, καὶ τῶν ἄλλων ξυμμάχων πλῆθος· καὶ ἐστράτευσαν ἐς Κύπρον, καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο· καὶ ὕστερον ἐς Βυζάντιον Μήδων ἐχόντων, καὶ ἐξεπολιόρκησαν ἐν τῇδε τῇ ἡγεμονίᾳ.

95. Ἤδη δὲ καὶ βιαίου ὄντος αὐτοῦ, οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο, καὶ οὐχ ἥκιστα οἱ Ἴωνες, καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους, ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενὲς, καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν, ἤν που βιάζηται. Οἱ δὲ Ἀθηναῖοι ἐδέξαντό τε τοὺς λόγους, καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι, τἄλλα τε καταστησόμενοι ᾗ φαίνοιτο ἄριστα αὐτοῖς. Ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν, ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο. Καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων, καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἢ στρατηγία. Ξυνέβη τε αὐτῷ καλεῖσθαί τε ἅμα, καὶ τοὺς ξυμμάχους τῷ ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι, πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. Ἐλθὼν δὲ ἐς Λακεδαίμονα, τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν· κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα Μηδισμὸς, καὶ ἐδόκει σαφέστατον εἶναι. Καὶ ἐκεῖνον μὲν οὐκέτι ἐκπέμπουσιν ἄρχοντα, Δόρκιν δὲ, καὶ ἄλλους τινὰς μετ' αὐτοῦ, στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμμαχοι τὴν ἡγεμονίαν. Οἱ δὲ αἰσθόμενοι ἀπῆλθον· καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται (ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον)· ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου, καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι, καὶ σφίσιν ἐν τῷ τότε παρόντι ἐπιτηδείους.

96. Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ, ἑκόντων τῶν ξυμμάχων, διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἅς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον, καὶ ἃς, ναῦς· πρόσχημα γὰρ ἦν ἀμύνεσθαι ὧν ἔπαθον δῃοῦντας τὴν βασιλέως χώραν. Καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχὴ, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἡ φορά. Ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς, τετρακόσια τάλαντα καὶ ἑξήκοντα· ταμεῖόν τε Δῆλος ἦν αὐτοῖς, καὶ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγίγνοντο.

97. Ἡγούμενοι δὲ αὐτονόμων τοπρῶτον τῶν ξυμμάχων, καὶ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων, τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὐτοῖς καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας, καὶ Πελοποννησίων τοὺς ἀεὶ προστυγχάνοντας ἐν ἑκάςῳ. Ἔγραψα δὲ αὐτὰ, καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον, καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν, ἢ αὐτὰ τὰ Μηδικά. Τούτων δὲ ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη. Ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέςη.

98. Πρῶτον μὲν Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, Μήδων ἐχόντων, πολιορκίᾳ εἷλον, καὶ ἠνδραπόδισαν, Κίμωνος τοῦ Μιλτιάδου ςρατηγοῦντος· ἔπειτα Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν, καὶ ᾤκισαν αὐτοί· πρὸς δὲ καὶ Καρυςίους αὐτοῖς, ἄνευ τῶν ἄλλων Εὐβοέων, πόλεμος ἐγένετο· καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. Ναξίοις δὲ ἀποςᾶσι μετὰ ταῦτα ἐπολέμησαν, καὶ πολιορκίᾳ παρεςήσαντο. Πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεςηκὸς ἐδουλώθη· ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάςῃ ξυνέβη.

99. Αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποςάσεων, καὶ μέγιςαι, αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποςράτιον, εἴτῳ ἐγένετο. Οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας· ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεςράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφιςαμένους· ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι. Διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν ςρατειῶν, οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ' οἴκου ὦσι, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἱκνούμενον ἀνάλωμα φέρειν. Καὶ τοῖς μὲν Ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης, ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ, ὁπότε ἀποςαῖεν, ἀπαράσκευοι καὶ ἄποροι ἐς τὸν πόλεμον καθίςαντο.

100. Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους· καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου ςρατηγοῦντος· καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας. Χρόνῳ δὲ ὕςερον ξυνέβη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Θασίους αὐτῶν ἀποςῆναι, διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων, καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. Καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι, ναυμαχίᾳ ἐκράτησαν, καὶ ἐς τὴν γῆν ἀπέβησαν. Ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰκήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους, ὡς οἰκειοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς, νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἠδωνοί· προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν, διεφθάρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρακῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.

101. Θάσιοι δὲ νικηθέντες μάχαις, καὶ πολιορκούμενοι, Λακεδαιμονίους ἐπεκαλοῦντο, καὶ ἐπαμύνειν ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. Οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων, καὶ ἔμελλον· διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ· ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν Περιοίκων Θουριᾶταί τε καὶ Αἰθεεῖς ἐς Ἰθώμην ἀπέςησαν. Πλεῖςοι δὲ τῶν Εἱλώτων ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι· ᾗ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. Πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειςήκει Λακεδαιμονίοις. Θάσιοι δὲ, τρίτῳ ἔτει πολιορκούμενοι, ὡμολόγησαν Ἀθηναίοις, τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα, ταξάμενοι, καὶ τολοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.

102. Λακεδαιμόνιοι δὲ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους, καὶ Ἀθηναίους· οἱ δ' ἦλθον, Κίμωνος ςρατηγοῦντος πλήθει οὐκ ὀλίγῳ. Μάλιςα δ' αὐτοὺς ἐπεκαλέσαντο, ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι. Τοῖς δὲ, πολιορκίας μακρᾶς καθεςηκυίας, τούτου ἐνδεᾶ ἐφαίνετο· βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. Καὶ διαφορὰ ἐκ ταύτης τῆς ςρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο· οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιΐαν, καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι, μή τι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν· τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δὲ ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι. Οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου· καὶ δεινὸν ποιησάμενοι, καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν, εὐθὺς ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς, Ἀργείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο· καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέςη.

103. Οἱ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι, καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον. Ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν προτοῦ, τὸν ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμήτα ἀφιέναι. Ἐξῆλθον δὲ αὐτοὶ, καὶ παῖδες, καὶ γυναῖκες· καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατ' ἔχθος ἤδη τὸ Λακεδαιμονίων, ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ᾑρηκότες νεωστὶ, Λοκρῶν τῶν Ὀζολῶν ἐχόντων. Προσεχώρησαν δὲ καὶ Μεγαρῆς Ἀθηναίοις ἐς ξυμμαχίαν, Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορίνθιοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον. Καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγάς· καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν· καὶ ἐφρούρουν αὐτοί. Καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

104. Ἰνάρως δὲ ὁ Ψαμμητίχου, Λίβυς, βασιλεὺς Λιβύων τῶν πρὸς Αἰγύπτῳ, ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου πόλεως, ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρταξέρξου· καὶ αὐτὸς ἄρχων γενόμενος, Ἀθηναίους ἐπηγάγετο. Οἱ δὲ (ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων) ἦλθον, ἀπολιπόντες τὴν Κύπρον· καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον, τοῦ τε ποταμοῦ κρατοῦντες, καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν, πρὸς τὸ τρίτον μέρος, ὃ καλεῖται Λευκὸν τεῖχος, ἐπολέμουν. Ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες, καὶ Αἰγυπτίων οἱ μὴ ξυναποστάντες.

105. Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιὰς, πρὸς Κορινθίους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο· καὶ ἐνίκων Κορίνθιοι. Καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελοποννησίων ναυσί· καὶ ἐνίκων Ἀθηναῖοι. Πολέμου δὲ καταστάντος πρὸς Αἰγινήτας Ἀθηναίοις, μετὰ ταῦτα ναυμαχία γίγνεται ἐπ' Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν· καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν. Καὶ ἐνίκων Ἀθηναῖοι, καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν, ἐς τὴν γῆν ἀπέβησαν· καὶ ἐπολιόρκουν, Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος. Ἔπειτα Πελοποννήσιοι ἀμύνειν βουλόμενοι Αἰγινήταις, ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους διεβίβασαν, τὰ δὲ ἄκρα τῆς Γερανείας κατέλαβον· καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀδυνάτους ἔσεσθαι Ἀθηναίους βοηθεῖν τοῖς Μεγαρεῦσιν, ἔν τε Αἰγίνῃ, ἀπούσης στρατιᾶς πολλῆς, καὶ ἐν Αἰγύπτῳ· ἢν δὲ καὶ βοηθῶσιν, ἀπ' Αἰγίνης ἀναστήσεσθαι αὐτούς. Οἱ δὲ Ἀθηναῖοι τὸ μὲν πρὸς Αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν, τῶν δ' ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι ἀφικνοῦνται ἐς τὰ Μέγαρα, Μυρωνίδου στρατηγοῦντος· καὶ μάχης γενομένης ἰσορρόπου πρὸς Κορινθίους, διεκρίθησαν ἀπ' ἀλ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

λήλων, καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον ἔχειν ἐν τῷ ἔργῳ. Καὶ οἱ μὲν Ἀθηναῖοι (ἐκράτησαν γὰρ ὅμως μᾶλλον), ἀπελθόντων τῶν Κορινθίων, τροπαῖον ἔστησαν· οἱ δὲ Κορίνθιοι, κακιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων, καὶ παρασκευασάμενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα, ἐλθόντες ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ ὡς νικήσαντες. Καὶ οἱ Ἀθηναῖοι ἐκβοήσαντες ἐκ τῶν Μεγάρων, τούς τε τὸ τροπαῖον ἱστάντας διαφθείρουσι, καὶ τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν.

106. Οἱ δὲ νικώμενοι ὑπεχώρουν· καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσβιασθὲν, καὶ διαμαρτὸν τῆς ὁδοῦ, ἐσέπεσεν ἔς του χωρίον ἰδιώτου, ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον, καὶ οὐκ ἦν ἔξοδος. Οἱ δὲ Ἀθηναῖοι γνόντες, κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις, καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς, κατέλευσαν πάντας τοὺς εισελθόντας. Καὶ πάθος μέγα τοῦτο τοῖς Κορινθίοις ἐγένετο. Τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου.

107. Ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ τείχη Ἀθηναῖοι ἐς θάλασσαν οἰκοδομεῖν, τό, τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ. Καὶ Φωκέων στρατευσάντων ἐς Δωριὰς, τὴν Λακεδαιμονίων μητρόπολιν, Βοιὸν, καὶ Κυτίνιον, καὶ Ἐρινεὸν, καὶ ἑλόντων ἓν τῶν πολισμάτων τούτων, οἱ Λακεδαιμόνιοι, Νικομήδους τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως, νέου ὄντος ἔτι, ἡγουμένου, ἐβοήθησαν τοῖς Δωριεῦσιν, ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις, καὶ τῶν ξυμμάχων μυρίοις. Καὶ τοὺς Φωκέας ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν, ἀπεχώρουν πάλιν· καὶ κατὰ θάλασσαν μὲν αὐτοὺς διὰ τοῦ Κρισσαίου κόλπου, εἰ βούλοιντο περαιοῦσθαι, Ἀθηναῖοι ναυσὶ περιπλεύσαντες, ἔμελλον κωλύσειν· διὰ δὲ τῆς Γερανείας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς, Ἀθηναίων ἐχόντων Μέγαρα καὶ Πηγὰς, πορεύεσθαι. Δύσοδός τε γὰρ ἡ Γεράνεια, καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ Ἀθηναίων· καὶ τότε ᾐσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν. Ἔδοξε δ' αὐτοῖς ἐν Βοιωτοῖς περιμείνασι σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται. Τὸ δέ τι καὶ ἄνδρες τῶν Ἀθηναίων ἐπῆγον αὐτοὺς κρύφα, ἐλπίσαντες δῆμόν τε καταπαύσειν, καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. Ἐβοήθησαν δὲ ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι πανδημεὶ, καὶ Ἀργείων χίλιοι, καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι· ξύμπαντες δὲ ἐγένοντο τετρακισχίλιοι καὶ μύριοι. Νομίσαντες δὲ ἀπορεῖν ὅπῃ διέλθωσιν, ἐπεστράτευσαν αὐτοῖς· καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψία ἦν. Ἦλθον δὲ καὶ Θεσσαλῶν ἱππεῖς τοῖς Ἀθηναίοις κατὰ τὸ ξυμμαχικὸν, οἳ μετέστησαν ἐν τῷ ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους.

108. Γενομένης δὲ μάχης ἐν Τανάγρᾳ τῆς Βοιωτίας, ἐνίκων Λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι, καὶ φόνος ἐγένετο ἀμφοτέρων πολύς. Καὶ Λακεδαιμόνιοι μεν, ἐς τὴν Μεγαρίδα ἐλθόντες, καὶ δενδροτομήσαντες, πάλιν ἀπῆλθον ἐπ' οἴκου, διὰ Γερανείας καὶ Ἰσθμοῦ· Ἀθηναῖοι

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

δὲ δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς, Μυρωνίδου στρατηγοῦντος. Καὶ μάχῃ ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες, τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος, καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον· καὶ Λοκρῶν τῶν Ὀπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον· τά τε τείχη τὰ ἑαυτῶν τὰ μακρὰ ἀπετέλεσαν. Ὡμολόγησαν δὲ καὶ οἱ Αἰγινῆται μετὰ ταῦτα τοῖς Ἀθηναίοις, τείχη τε περιελόντες, καὶ ναῦς παραδόντες, φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. Καὶ Πελοπόννησον περιέπλευσαν Ἀθηναῖοι, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος, καὶ τὸ νεώριον τῶν Λακεδαιμονίων ἐνέπρησαν, καὶ Χαλκίδα Κορινθίων πόλιν εἷλον, καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

109. Οἱ δὲ ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἔτι ἐπέμενον, καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν· τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς Αἰγύπτου οἱ Ἀθηναῖοι· καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον, ἄνδρα Πέρσην, χρήματα ἔχοντα, ὅπως ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πελοποννησίων, καὶ ἀπ' Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. Ὡς δὲ αὐτῷ οὐ προὐχώρει, καὶ τὰ χρήματα ἄλλως ἀναλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἀνεκομίσθη. Μεγάβαζον δὲ τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην, μετὰ στρατιᾶς πολλῆς· ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησε, καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας, καὶ τέλος ἐς Προσωπίτιδα τὴν νῆσον κατέκλεισε· καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ μῆνας ἕξ, μέχρις οὗ ξηράνας τὴν διώρυχα, καὶ παρατρέψας ἄλλῃ τὸ ὕδωρ, τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε, καὶ τῆς νήσου τὰ πολλὰ, ἤπειρον· καὶ διαβὰς εἷλε τὴν νῆσον πεζῇ.

110. Οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη, ἓξ ἔτη πολεμήσαντα· καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς Λιβύης, ἐς Κυρήνην διεσώθησαν· οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλεῖ ἐγένετο, πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως. Τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν, καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Ἰνάρως δὲ ὁ τῶν Λιβύων βασιλεὺς, ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθεὶς, ἀνεσταυρώθη. Ἐκ δὲ τῶν Ἀθηναίων καὶ τῆς ἄλλης ξυμμαχίδος πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον, ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. Καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ, καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δ' ἐλάσσους διέφυγον πάλιν. Τὰ μὲν κατὰ τὴν μεγάλην στρατείαν Ἀθηναίων τε καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

111. Ἐκ δὲ Θεσσαλίας Ὀρέστης ὁ Ἐχεκρατίδου υἱὸς τοῦ Θεσσαλῶν βασιλέως, φεύγων, ἔπεισεν Ἀθηναίους ἑαυτὸν κατάγειν. Καὶ παραλαβόντες τοὺς Βοιωτοὺς καὶ Φωκέας ὄντας ξυμμάχους οἱ Ἀθηναῖοι, ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. Καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων (οἱ γὰρ ἱππεῖς τῶν Θεσσαλῶν εἶργον), τὴν δὲ πόλιν οὐχ εἷλον, οὐδ' ἄλλο προυχώρει αὐτοῖς οὐδὲν, ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν Ὀρέστην ἔχοντες ἄπρακτοι. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον χίλιοι Ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες (εἶχον δ' αὐτοὶ τὰς Πηγὰς) παρέπλευσαν ἐς Σικυῶνα, Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος· καὶ ἀποβάντες Σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. Καὶ εὐθὺς παραλαβόντες Ἀχαιοὺς, καὶ διαπλεύσαντες πέραν, τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν, καὶ ἐπολιόρκουν· οὐ μέντοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ' οἴκου.

112. Ὕστερον δὲ διαλιπόντων ἐτῶν τριῶν σπονδαὶ γίγνονται Πελοποννησίοις καὶ Ἀθηναίοις πεντα⟨ε⟩τεῖς. Καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων, Κίμωνος στρατηγοῦντος. Καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· αἱ δὲ ἄλλαι Κίτιον ἐπολιόρκουν. Κίμωνος δὲ ἀποθανόντος, καὶ λιμοῦ γενομένου, ἀπεχώρησαν ἀπὸ Κιτίου· καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ, Φοίνιξι καὶ Κυπρίοις καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα. Καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν ἐπ' οἴκου, καὶ αἱ ἐξ Αἰγύπτου νῆες πάλιν αἱ ἐλθοῦσαι μετ' αὐτῶν. Λακεδαιμόνιοι δὲ μετὰ ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν, καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ, παρέδοσαν Δελφοῖς. Καὶ αὖθις ὕστερον Ἀθηναῖοι, ἀποχωρησάντων αὐτῶν, στρατεύσαντες καὶ κρατήσαντες, παρέδοσαν Φωκεῦσι.

113. Καὶ χρόνου ἐγγενομένου, μετὰ ταῦτα Ἀθηναῖοι Βοιωτῶν τῶν φευγόντων ἐχόντων Ὀρχομενὸν καὶ Χερώνειαν, καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας, ἐστράτευσαν, ἑαυτῶν μὲν χιλίοις ὁπλίταις, τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις, ἐπὶ τὰ χωρία ταῦτα, πολέμια ὄντα, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος. Καὶ Χαιρώνειαν ἑλόντες καὶ ἀνδραποδίσαντες, ἀπεχώρουν, φυλακὴν καταστήσαντες. Πορευομένοις δὲ αὐτοῖς ἐν Κορωνείᾳ, ἐπιτίθενται οἵ τε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν, καὶ Λοκροὶ μετ' αὐτῶν, καὶ Εὐβοέων φυγάδες, καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν· καὶ μάχῃ κρατήσαντες, τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων, τοὺς δὲ, ζῶντας ἔλαβον. Καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι, ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες, καὶ οἱ ἄλλοι πάντες, αὐτόνομοι πάλιν ἐγένοντο.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

114. Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη ἀπὸ Ἀθηναίων· καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων, ἠγγέλθη αὐτῷ ὅτι Μέγαρα ἀφέστηκε, καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβάλλειν ἐς τὴν Ἀττικήν· καὶ οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων, πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον. Ἐπαγαγόμενοι δὲ Κορινθίους καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους, ἀπέστησαν οἱ Μεγαρεῖς. Ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς Εὐβοίας. Καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θρίωζε ἐσβαλόντες, ἐδῄωσαν, Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως Λακεδαιμονίων ἡγουμένου. Καὶ τοπλέον οὐκέτι προελθόντες, ἀπεχώρησαν ἐπ' οἴκου. Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες, Περικλέους στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν· καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαίας δὲ ἐξοικίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον.

115. Ἀναχωρήσαντες δὲ ἀπὸ Εὐβοίας, οὐ πολλῷ ὕστερον σπονδὰς ἐποιήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακοντούτεις, ἀποδόντες Νίσαιαν, καὶ Ἀχαΐαν, καὶ Πηγὰς, καὶ Τροιζῆνα· ταῦτα γὰρ εἶχον Ἀθηναῖοι Πελοποννησίων. Ἕκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πόλεμος ἐγένετο περὶ Πριήνης· καὶ οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ, παρ' Ἀθηναίους ἐλθόντες, κατεβόων τῶν Σαμίων. Ξυνεπελαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται, νεωτερίσαι βουλόμενοι τὴν πολιτείαν. Πλεύσαντες οὖν Ἀθηναῖοι ἐς Σάμον ναυσὶ τεσσαράκοντα, δημοκρατίαν κατέστησαν, καὶ ὁμήρους ἔλαβον τῶν Σαμίων, πεντήκοντα μὲν παῖδας, ἴσους δὲ ἄνδρας, καὶ κατέθεντο ἐς Λῆμνον, καὶ φρουρὰν ἐγκαταλιπόντες ἀνεχώρησαν. Τῶν δὲ Σαμίων (ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμειναν, ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον) ξυνθέμενοι τῶν ἐν τῇ πόλει τοῖς δυνατωτάτοις καὶ Πισσούθνῃ τῷ Ὑστάσπου ξυμμαχίαν, ὃς εἶχε Σάρδεις τότε, ἐπικούρους τε ξυλλέξαντες ἐς ἑπτακοσίους, διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. Καὶ πρῶτον μὲν τῷ δήμῳ ἐπανέστησαν, καὶ ἐκράτησαν τῶν πλείστων· ἔπειτα τοὺς ὁμήρους κλέψαντες ἐκ Λήμνου τοὺς αὐτῶν, ἀπέστησαν· καὶ τοὺς φρουροὺς τῶν Ἀθηναίων, καὶ τοὺς ἄρχοντας, οἳ ἦσαν παρὰ σφίσιν, ἐξέδοσαν Πισσούθνῃ. Ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. Ξυναπέστησαν δὲ αὐτοῖς καὶ Βυζάντιοι.

116. Ἀθηναῖοι δὲ ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου, ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο· (ἔτυχον γὰρ αἱ μὲν, ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου περιαγγέλλουσαι βοηθεῖν) τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι, Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος, ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ Σαμίων ναυσὶν ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Zωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

πλέουσαι. καὶ ἐνίκων Ἀθηναῖοι. Ὕστερον δὲ αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες τεσσαράκοντα, καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι. Καὶ ἀποβάντες ἐς τὴν γῆν, καὶ κρατοῦντες τῷ πεζῷ, ἐπολιόρκουν τρισὶ τείχεσι τὴν πόλιν, καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς δὲ, λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν, ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων, ὅτι Φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν. Ὤιχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας, καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας.

117. Ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι, ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες, τάς τε προφυλακίδας ναῦς διέφθειραν, καὶ ναυμαχοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τεσσαρεσκαίδεκα, καὶ ἐσεκομίσαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. Ἐλθόντος δὲ Περικλέους, πάλιν ταῖς ναυσὶ κατεκλείσθησαν· καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προσεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἅγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους· ἐκ δὲ Χίου καὶ Λέσβου τριάκοντα. Καὶ ναυμαχίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι· ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν, ἐξεπολιορκήθησαν ἐννάτῳ μηνὶ, καὶ προσεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθελόντες, καὶ ὁμήρους δόντες, καὶ ναῦς παραδόντες, καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. Ξυνέβησαν δὲ καὶ Βυζάντιοι, ὥσπερ καὶ πρότερον ὑπήκοοι εἶναι.

118. Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ, καὶ τὰ Ποτιδαιατικὰ, καὶ ὅσα πρόφασις μεταξὺ τοῦδε τοῦ πολέμου κατέστη. Ταῦτα δὲ ξύμπαντα, ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους, καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα, μεταξὺ τῆς τε Ξέρξου ἀναχωρήσεως, καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι, οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχὺ, ἡσύχαζόν τε τοπλέον τοῦ χρόνου· (ὄντες μὲν καὶ προτοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι) πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων σαφῶς ἤρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο, τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ, καὶ καθαιρετέα ἡ ἰσχὺς, ἢν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. Αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνωστο λελύσθαι τε τὰς σπονδὰς, καὶ τοὺς Ἀθηναίους ἀδικεῖν. Πέμψαντες δὲ ἐς Δελφοὺς, ἐπηρώτων τὸν θεὸν εἰ πολεμοῦσιν ἄμεινον ἔσται· ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι, καὶ παρακαλούμενος καὶ ἄκλητος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

119. Αὖθις δὲ τοὺς ξυμμάχους παρακαλέσαντες, ψῆφον ἐβούλοντο ἐπαγαγεῖν εἰ χρὴ πολεμεῖν. Καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμμαχίας, καὶ ξυνόδου γενομένης, οἵτε ἄλλοι εἶπον ἃ ἐβούλοντο, κατηγοροῦντες οἱ πλείους τῶν Ἀθηναίων, καὶ τὸν πόλεμον ἀξιοῦντες γενέσθαι· καὶ οἱ Κορίνθιοι, δεηθέντες μὲν καὶ κατὰ πόλεις πρότερον ἑκάςων ἰδίᾳ ὥςε ψηφίσασθαι πόλεμον, δεδιότες περὶ τῇ Ποτιδαίᾳ μὴ προδιαφθαρῇ, παρόντες δὲ καὶ τότε, καὶ τελευταῖοι ἐπελθόντες, ἔλεγον τοιάδε.

120. « ΤΟΥΣ μὲν Λακεδαιμονίους, ὦ ἄνδρες ξύμμαχοι, οὐκ ἂν » ἔτι αἰτιασαίμεθα, ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πόλεμόν εἰσι, » καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. Χρὴ γὰρ τοὺς ἡγεμόνας, τὰ ἴδια » ἐξ ἴσου νέμοντας, τὰ κοινὰ προσκοπεῖν, ὥσπερ καὶ ἐν ἄλλοις ἐκ » πάντων προτιμῶνται. Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλά» γησαν, οὐχὶ διδαχῆς δέονται ὥςε φυλάξασθαι αὐτούς· τοὺς δὲ τὴν » μεσόγειαν μᾶλλον καὶ μὴ ἐν πόρῳ κατῳκημένους, εἰδέναι χρή, » ὅτι τοῖς κάτω ἢν μὴ ἀμύνωσι, χαλεπωτέραν ἕξουσι τὴν κατακο» μιδὴν τῶν ὡραίων, καὶ πάλιν ἀντίληψιν, ὧν ἡ θάλασσα τῇ ἠπεί» ρῳ δίδωσι· καὶ τῶν νῦν λεγομένων μὴ κακοὺς κριτὰς, ὡς μὴ προ» σηκόντων, εἶναι, προδέχεσθαι δέ ποτε, εἰ τὰ κάτω πρόοιντο, κἂν » μέχρι σφῶν τὸ δεινὸν προελθεῖν, καὶ περὶ αὐτῶν οὐχ ἧσσον νῦν » βουλεύεσθαι. Διόπερ καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ' » εἰρήνης μεταλαμβάνειν· ἀνδρῶν γὰρ σωφρόνων μέν ἐςιν, εἰ μὴ » ἀδικοῖντο, ἡσυχάζειν· ἀγαθῶν δὲ, ἀδικουμένους, ἐκ μὲν εἰρή» νης, πολεμεῖν· εὖ δὲ παρασχὸν, ἐκ πολέμου πάλιν ξυμβῆ» ναι· καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι, μήτε τῷ ἡ» σύχῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. Ὅ, τε γὰρ διὰ τὴν ἡδονὴν » ὀκνῶν, τάχις' ἂν ἀφαιρεθείη τῆς ῥαςώνης τὸ τερπνὸν, δι' ὅπερ ὀ» κνεῖ, εἰ ἡσυχάζοι· ὅ, τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων, οὐκ ἐντε» θύμηται θράσει ἀπίςῳ ἐπαιρόμενος. Πολλὰ γὰρ κακῶς γνωσθέντα, » ἀβουλοτέρων τῶν ἐναντίων τυχόντων, κατωρθώθη· καὶ ἔτι πλείω ἃ » καλῶς δοκοῦντα βουλευθῆναι, εἰς τοὐναντίον αἰσχρῶς περιέςη. Ἐν» θυμεῖται γὰρ οὐδεὶς ὅμοια τῇ πίςει, καὶ ἔργῳ ἐπεξέρχεται, ἀλλὰ » μετ' ἀσφαλείας μὲν δοξάζομεν, μετὰ δέους δὲ ἐν τῷ ἔργῳ ἐλλεί» πομεν. »

121. « Ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγείρομεν, » καὶ ἱκανὰ ἔχοντες ἐγκλήματα· καὶ ὅταν ἀμυνώμεθα Ἀθηναίους, » καταθησόμεθα αὐτὸν ἐν καιρῷ. Κατὰ πολλὰ δὲ ἡμᾶς εἰκὸς ἐπικρα» τῆσαι, πρῶτον μὲν, πλήθει προὔχοντας καὶ ἐμπειρίᾳ πολεμικῇ, » ἔπειτα ὁμοίως πάντας ἐς τὰ παραγγελλόμενα ἰόντας· ναυτικόν τε, » ᾧ ἰσχύουσιν, ἀπὸ τῆς ὑπαρχούσης τε ἑκάςοις οὐσίας ἐξαρτησόμε» θα, καὶ ἀπὸ τῶν ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ χρημάτων. Δάνεισμα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» γὰρ ποιησάμενοι, ὑπολαβεῖν οἱοί τ' ἐσμὲν μισθῷ μείζονι τοὺς ξέ- » νους αὐτῶν ναυβάτας. Ὠνητὴ γὰρ Ἀθηναίων ἡ δύναμις μᾶλλον ἢ » οἰκεία· ἡ δὲ ἡμετέρα ἧσσον ἂν τοῦτο πάθοι, τοῖς σώμασι τοπλέον » ἰσχύουσα ἢ τοῖς χρήμασι. Μιᾷ τε νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς » ἁλίσκονται· εἰ δ' ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ » τὰ ναυτικά. Καὶ ὅταν τὴν ἐπιςήμην ἐς τὸ ἴσον καταςήσωμεν, τῇγε » εὐψυχίᾳ δήπου περιεσόμεθα. Ὃ γὰρ ἡμεῖς φύσει ἔχομεν ἀγαθὸν, » ἐκείνοις οὐκ ἂν γένοιτο διδαχῇ· ὃ δ' ἐκεῖνοι ἐπιςήμῃ προὔχουσι, » καθαιρετέον ἡμῖν ἐςὶ μελέτῃ. Χρήματα δ' ὥς ἔχειν ἐς αὐτὰ οἴσο- » μεν. Ἢ δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι ἐπὶ δουλείᾳ τῇ » αὐτῶν φέροντες οὐκ ἀπεροῦσιν, ἡμεῖς δ' ἐπὶ τῷ τιμωρούμενοι τοὺς » ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι, οὐκ ἄρα δαπανήσομεν, καὶ ἐπὶ » τῷ μὴ ὑπ' ἐκείνων αὐτὰ ἀφαιρεθέντες, αὐτοῖς τούτοις κακῶς » πάσχειν. »

122. « Ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ τοῦ πολέμου ἡμῖν, ξυμμά- » χων τε ἀπόστασις, μάλιςα παραίρεσις οὖσα τῶν προσόδων, αἷς ἰσχύ- » ουσι, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ, ἄλλα τε ὅσα οὐκ ἄν τις νῦν » προΐδοι. Ἥκιςα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ, αὐτὸς δὲ ἀφ' αὑτοῦ » τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχάνον· ἐν ᾧ ὁ μὲν εὐοργήτως » αὐτῷ προσομιλήσας, βεβαιότερος· ὁ δὲ ὀργισθεὶς περὶ αὐτὸν, οὐκ » ἐλάσσω πταίει. Ἐνθυμώμεθα δὲ καὶ ὅτι, εἰ μὲν ἡμῶν ἦσαν ἑκάςοις » πρὸς ἀντιπάλους περὶ γῆς ὅρων διαφοραὶ, οἰςὸν ἂν ἦν· νῦν δὲ » πρὸς ξύμπαντάς τε ἡμᾶς Ἀθηναῖοι ἱκανοὶ, καὶ κατὰ πόλιν ἔ- » τι δυνατώτεροι. Ὥστε εἰ μὴ καὶ ἀθρόοι, καὶ κατὰ ἔθνη, καὶ ἕκα- » ςον ἄςυ μιᾷ γνώμῃ ἀμυνούμεθα αὐτοὺς, δίχα γε ὄντας ἡμᾶς, » ἀπόνως χειρώσονται· καὶ τὴν ἧσσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, » ἴςω οὐκ ἄλλο τι φέρουσαν ἢ ἄντικρυς δουλείαν· ὃ καὶ λόγῳ ἐνδοι- » ασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ, καὶ πόλεις τοσάσδε ἀπὸ μιᾶς » κακοπαθεῖν. Ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσχειν, ἢ διὰ δειλίαν » ἀνέχεσθαι, καὶ τῶν πατέρων χείρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα » ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτό· τύραννον » δὲ ἐῶμεν ἐγκαθεςάναι πόλιν, τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦμεν » καταλύειν. Καὶ οὐκ ἴσμεν ὅπως τάδε τριῶν τῶν μεγίςων ξυμφο- » ρῶν οὐκ ἀπήλλακται, ἀξυνεσίας, ἢ μαλακίας, ἢ ἀμελείας. Οὐ γὰρ » δὴ πεφευγότες ταῦτα, ἐπὶ τὴν πλείςους δὴ βλάψασαν καταφρό- » νησιν κεχωρήκατε· ἣ ἐκ τοῦ πολλοὺς σφάλειν, τὸ ἐναντίον ὄνομα » ἀφροσύνη μετωνόμασται. »

123. « Τὰ μὲν οὖν προγεγενημένα τί δεῖ μακρότερον ἢ ἐς ὅσον » τοῖς νῦν ξυμφέρει, αἰτιᾶσθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων » τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν. Πάτριον γὰρ ἡμῖν » ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι, καὶ μὴ μεταβάλλειν τὸ ἔθος,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» εἰ ἄρα πλούτῳ τε νῦν καὶ ἐξουσίᾳ ὀλίγον προφέρετε. Οὐ γὰρ δί-
» καιον, ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ περιουσίᾳ ἀπολέσθαι· ἀλλὰ θαρ-
» σοῦντας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος,
» καὶ αὐτοῦ ὑποσχομένου ξυλλήψεσθαι, καὶ τῆς ἄλλης Ἑλλάδος
» ἁπάσης ξυναγωνιουμένης, τὰ μὲν, φόβῳ, τὰ δὲ, ὠφελείᾳ. Σπονδάς
» τε οὐ λύσετε πρότεροι (ἅς γε καὶ ὁ θεὸς, κελεύων πολεμεῖν, νομί-
» ζει παραβεβάσθαι), ἠδικημέναις δὲ μᾶλλον βοηθήσετε· λύουσι γὰρ
» οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ πρότεροι ἐπιόντες.»

124. «Ὥστε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν, καὶ ἡ-
» μῶν κοινῇ τάδε παραινούντων, εἴπερ βεβαιότατον τὸ ταυτὰ ξυμ-
» φέροντα καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε Ποτιδαιάταις
» τε ποιεῖσθαι τιμωρίαν, οὖσι Δωριεῦσι, καὶ ὑπὸ Ἰώνων πολιορκουμέ-
» νοις (οὗ πρότερον ἦν τοὐναντίον), καὶ τῶν ἄλλων μετελθεῖν τὴν
» ἐλευθερίαν. Ὡς οὐκέτι ἐνδέχεται περιμένοντας, τοὺς μὲν, ἤδη βλά-
» πτεσθαι, τοὺς δ', εἰ γνωσθησόμεθα ξυνελθόντες μὲν, ἀμύνεσθαι δὲ
» οὐ τολμῶντες, μὴ πολὺ ὕστερον τὸ αὐτὸ πάσχειν· ἀλλὰ νομίσαντες
» ἐπ' ἀνάγκην ἀφῖχθαι, ὦ ἄνδρες ξύμμαχοι, καὶ ἅμα τάδε ἄριστα
» λέγεσθαι, ψηφίσασθε δὴ τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα
» δεινὸν, τῆς δ' ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες· (ἐκ
» πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται· ἀφ' ἡσυχίας δὲ μὴ
» πολεμῆσαι, οὐχ ὁμοίως ἀκίνδυνον) καὶ τὴν καθεστηκυῖαν ἐν τῇ Ἑλ-
» λάδι πόλιν τύραννον ἡγησάμενοι ἐπὶ πᾶσιν ὁμοίως καθεστάναι, ὥστε
» τῶν μὲν ἤδη ἄρχειν, τῶν δὲ, διανοεῖσθαι, παραστησώμεθα ἐπελθόν-
» τες. Καὶ αὐτοί τε ἀκινδύνως τολοιπὸν οἰκῶμεν, καὶ τοὺς νῦν δε-
» δουλωμένους Ἕλληνας ἐλευθερώσωμεν.» Τοιαῦτα μὲν οἱ Κορίνθιοι
εἶπον.

125. Οἱ δὲ Λακεδαιμόνιοι, ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν γνώ-
μην, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν, ὅσοι παρῆσαν ἑξῆς,
καὶ μείζονι καὶ ἐλάσσονι πόλει· καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν.
Δεδογμένον δὲ αὐτοῖς, εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύ-
οις οὖσιν· ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις, ἃ πρόσφορα ἦν, καὶ μὴ
εἶναι μέλλησιν. Ὅμως δὲ καθισταμένοις, ὧν ἔδει, ἐνιαυτὸς μὲν οὐ δι-
ετρίβη, ἔλασσον δὲ, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν, καὶ τὸν πόλεμον
ἄρασθαι φανερῶς.

126. Ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τῷ χρόνῳ πρὸς τοὺς Ἀθηναίους,
ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτιμεγίστη πρόφασις εἴη τοῦ πο-
λεμεῖν, ἢν μή τι ἐσακούωσι. Καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες
οἱ Λακεδαιμόνιοι ἐκέλευον τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ.
Τὸ δὲ ἄγος ἦν τοιόνδε. Κύλων ἦν Ἀθηναῖος, ἀνὴρ Ὀλυμπιονίκης,
τῶν πάλαι εὐγενής τε καὶ δυνατός· ἐγεγαμήκει δὲ θυγατέρα Θεαγέ-
νους Μεγαρέως ἀνδρὸς, ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγά-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ρων. Χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς, ἀνεῖλεν ὁ θεὸς, ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων ἀκρόπολιν. Ὁ δὲ παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν, καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθεν Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι· νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίςην εἶναι, καὶ ἑαυτῷ τι προσήκειν, Ὀλύμπια νενικηκότι. Εἰ δὲ ἐν τῇ Ἀττικῇ ἢ ἀλλοθί που ἡ μεγίςη ἑορτὴ εἴρητο, οὔτε ἐκεῖνος ἔτι κατενόησε, τό, τε μαντεῖον οὐκ ἐδήλου· ἔςι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίςη, ἔξω τῆς πόλεως· ἐν ᾗ πανδημεὶ θείουσι πολλοὶ, οὐχ ἱερεῖα, ἀλλὰ θύματα ἐπιχώρια. Δοκῶν δὲ ὀρθῶς γιγνώσκειν, ἐπεχείρησε τῷ ἔργῳ. Οἱ δ' Ἀθηναῖοι αἰσθόμενοι, ἐβοήθησάν τε πανδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ' αὐτοὺς, καὶ προσκαθεζόμενοι ἐπολιόρκουν. Χρόνου δὲ ἐπιγιγνομένου, οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ, ἀπῆλθον οἱ πολλοὶ, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τήν φυλακήν τε καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι ᾗ ἂν ἄριςα διαγιγνώσκωσι. Τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν οἱ ἐννέα ἄρχοντες ἔπρασσον. Οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμενοι, φλαύρως εἶχον, σίτου τε καὶ ὕδατος ἀπορίᾳ. Ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι, ὡς ἐπιέζοντο, καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τῶν ἐν τῇ ἀκροπόλει. Ἀναςήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακὴν, ὡς ἑώρων ἀποθνήσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες ἀπέκτειναν. Καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν Σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς, ἐν τῇ παρόδῳ διεχρήσαντο· καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλιτήριοι τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο, καὶ τὸ γένος τὸ ἀπ' ἐκείνων. Ἤλασαν μὲν οὖν καὶ οἱ Ἀθηναῖοι τοὺς ἐναγεῖς τούτους· ἤλασε δὲ καὶ Κλεομένης ὁ Λακεδαιμόνιος ὕςερον μετὰ Ἀθηναίων ςασιαζόντων· τούς τε ζῶντας ἐλαύνοντες, καὶ τῶν τεθνεώτων τὰ ὀςᾶ ἀνελόντες, ἐξέβαλον. Κατῆλθον μέντοι ὕςερον, καὶ τὸ γένος αὐτῶν ἔτι ἐςὶν ἐν τῇ πόλει.

127. Τοῦτο δὴ τὸ ἄγος οἱ Λακεδαιμόνιοι ἐλαύνειν ἐκέλευον δῆθεν τοῖς θεοῖς πρῶτον τιμωροῦντες, εἰδότες δὲ Περικλέα τὸν Ξανθίππου προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα, καὶ νομίζοντες, ἐκπεσόντος αὐτοῦ, ῥᾷον σφίσιν προχωρήσειν τὰ ἀπὸ τῶν Ἀθηναίων· οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο, ὅσον διαβολὴν οἴσειν αὐτῷ πρὸς τὴν πόλιν, ὡς καὶ διὰ τὴν ἐκείνου ξυμφορὰν τὸ μέρος ἔςαι ὁ πόλεμος. Ὢν γὰρ δυνατώτατος τῶν καθ' ἑαυτὸν, καὶ ἄγων τὴν πολιτείαν, ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις· καὶ οὐκ εἴα ὑπείκειν, ἀλλ' ἐς τὸν πόλεμον ὥρμα τοὺς Ἀθηναίους.

128. Ἀντεκέλευον δὲ καὶ οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους τὸ ἀπὸ Ταινάρου ἄγος ἐλαύνειν. Οἱ γὰρ Λακεδαιμόνιοι ἀναςήσαντες

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική
Βιβλιοθήκη Ιωαννίνων

ποτε ἐκ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἀπὸ Ταινάρου τῶν Εἱλώτων τοὺς ἱκέτας, ἀπαγαγόντες, διέφθειραν· δι' ὃ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγα σεισμὸν γενέσθαι ἐν Σπάρτῃ. Ἐκέλευον δὲ καὶ τὸ τῆς Χαλκιοίκου ἄγος ἐλαύνειν αὐτούς. Ἐγένετο δὲ τοιόνδε· Ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τοπρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ, καὶ κριθεὶς ὑπ' αὐτῶν, ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα, ἄνευ Λακεδαιμονίων ἀφικνεῖται ἐς Ἑλλήσποντον· τῷ μὲν λόγῳ ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ, τὰ πρὸς βασιλέα πράγματα βουλόμενος πράσσειν· ὥσπερ καὶ τοπρῶτον ἐπεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. Εὐεργεσίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο, καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο. Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν (εἶχον δὲ Μῆδοι αὐτὸ, καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς, οἳ ἑάλωσαν ἐν αὐτῷ), τότε τούτους οὓς ἔλαβεν, ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων· τῷ δὲ λόγῳ, ἀπέδρασαν αὐτόν. Ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό, τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. Ἔπεμψε δὲ καὶ ἐπιςολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ. Ἐνεγέγραπτο δὲ τάδε καὶ ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη· « Παυσανίας ὁ ἡγεμὼν » τῆς Σπάρτης, τούςδε τέ σοι χαρίζεσθαι βουλόμενος, ἀποπέμπει » δορὶ ἑλών· καὶ γνώμην ποιοῦμαι, εἰ καί σοι δοκεῖ, θυγατέρα τε » τὴν σὴν γῆμαι, καί σοι Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλλάδα ὑπο» χείριον ποιῆσαι· δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα πρᾶξαι, μετὰ σοῦ » βουλευόμενος. Εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν » ἐπὶ θάλασσαν, δι' οὗ τολοιπὸν τοὺς λόγους ποιησόμεθα. »

129. Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Ξέρξης δὲ ἥσθη τε τῇ ἐπιςολῇ, καὶ ἀποςέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν, καὶ κελεύει αὐτὸν τήν τε Δασκυλῖτιν Σατραπείαν παραλαβεῖν, Μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχε· καὶ παρὰ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ, ὡς τάχιστα διαπέμψαι, καὶ τὴν σφραγίδα ἀποδεῖξαι· καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν ὡς ἄριστα καὶ πιστότατα. Ὁ δὲ ἀφικόμενος, τά τε ἄλλα ἐποίησεν, ὥςπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν. Ἀντεγέγραπτο δὲ τάδε· « Ὧδε λέγει βασιλεὺς » Ξέρξης Παυσανίᾳ· καὶ τῶν ἀνδρῶν οὕς μοι πέραν θαλάσσης ἐκ » Βυζαντίου διέσωσας, κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ » ἐσαεὶ ἀνάγραπτος, καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι· καί » σε μήτε νὺξ μήθ' ἡμέρα ἐπισχέτω ὥστε ἀνεῖναι πράσσειν τι, ὧν » ἐμοὶ ὑπισχνῇ· μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνη κεκωλύσθω, μηδὲ » στρατιᾶς πλήθει, εἴποι δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' Ἀρταβάζου


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ἀνδρὸς ἀγαθοῦ, ὅν σοι ἔπεμψα, πράσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ τὰ » σὰ, ὅπη κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις. »

130. Ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὢν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Πλαταιᾶσιν ἡγεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο, καὶ οὐκέτι ἠδύνατο ἐν τῷ καθεςῶτι τρόπῳ βιοτεύειν· ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξῄει, καὶ διὰ τῆς Θρᾴκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν· τράπεζάν τε Περσικὴν παρετίθετο, καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προὐδήλου, ἃ τῇ γνώμῃ μειζόνως ἐσέπειτα ἔμελλε πράξειν. Δυσπρόσοδόν τε αὑτὸν παρεῖχε, καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προσιέναι. Διόπερ καὶ πρὸς τοὺς Ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέστη.

131. Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι, τό, τε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτὸν, καὶ ἐπειδὴ τῇ Ἑρμιονίδι νηῒ τοδεύτερον ἐκπλεύσας, οὐ κελευσάντων αὐτῶν, τοιαῦτα ἐφαίνετο ποιῶν. Καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορκηθεὶς, ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἐς δὲ Κολωνὰς τὰς Τρωϊάδας ἱδρυθεὶς, πράσσων τε ἐσηγγέλλετο αὐτοῖς ἐς τοὺς βαρβάρους, καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος. Οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα οἱ ἔφοροι, καὶ σκυτάλην, εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι· εἰ δὲ μὴ, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. Ὁ δὲ, βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι, καὶ πιςεύων χρήμασι διαλύσειν τὴν διαβολὴν, ἀνεχώρει τοδεύτερον ἐς Σπάρτην. Καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τοπρῶτον ὑπὸ τῶν ἐφόρων (ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο), ἔπειτα διαπραξάμενος, ὕστερον ἐξῆλθε, καὶ καθίςησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτῶν ἐλέγχειν.

132. Καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον, οὔτε οἱ ἐχθροὶ, οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιςεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα, καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα. Πλείςαρχον γὰρ τὸν Λεωνίδου, ὄντα βασιλέα καὶ νέον ἔτι, ἀνεψιὸς ὢν ἐπετρόπευεν. Ὑποψίας δὲ πολλὰς παρεῖχε, τῇ τε παρανομίᾳ, καὶ ζηλώσει τῶν βαρβάρων, μὴ ἴσος βούλεσθαι εἶναι τοῖς παροῦσι. Τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴτι που ἐξεδεδιῄτητο τῶν καθεστώτων νομίμων, καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε·

Ἑλλήνων ἀρχηγὸς, ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας, Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

Τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο, καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις, ὅσαι ξυγ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

καθελοῦσαι τὸν βάρβαρον, ἐςήσαντο ἀνάθημα. Τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τοῦτ᾽ ἐδόκει εἶναι, καὶ ἐπεί γε δὴ ἐν τουτῳ καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῆ παρούσῃ διανοίᾳ. Ἐπυνθάνοντο δὲ καὶ εἰς τοὺς Εἵλωτας πράσσειν τι αὐτόν· καὶ ἦν δὲ οὕτως. Ἐλευθέρωσίν τε γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι, καὶ τὸ πᾶν ξυγκατεργάσωνται. Ἀλλ᾽ οὐδ᾽ ὡς οὐδὲ τῶν Εἱλώτων μηνυταῖς τισι πιστεύσαντες, ἠξίωσαν νεώτερόν τι ποιεῖν εἰς αὐτὸν, χρώμενοι τῷ τρόπῳ, ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτοὺς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς Σπαρτιάτου, ἄνευ ἀναμφισβητήτων τεκμηρίων, βουλεῦσαί τι ἀνήκεστον· πρίν γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων τὰς τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον κομιεῖν, ἀνὴρ Ἀργίλιος, παιδικά ποτε ὢν αὐτοῦ, καὶ πιςότατος ἐκείνῳ, μηνυτὴς γίγνεται· δείσας κατὰ ἐνθύμησιν τινα, ὅτι οὐδεὶς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέλων παλιν αφίκετο, καὶ παραποιησάμενος σφραγίδα, ἵνα, ἢν ψευσθῆ τῆς δόξης, ἢ καὶ ἐκεῖνος μεταγράψαι τι αἰτήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιςολάς· ἐν αἷς ὑπονοήσας τι τοιοῦτον προσεπεςαλθαι, καὶ αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν.

133. Τότε δε οἱ ἔφοροι, δείξαντες αὐτοῦ τὰ γραμματα, μᾶλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταιναρον ἱκέτου οἰχομένου, καὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην, ἐς ἣν τῶν τε ἐφόρων ἐντός τινας ἔκρυψε, καὶ Παυσανίου ὡς αὐτον ἐλθόντος, καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας, ᾔσθοντο πάντα σαφῶς, αἰτιωμένου τοῦ ἀνθρώπου τά τε περὶ αὐτοῦ γραφέντα, καὶ τἄλλα ἀποφαίνοντος καθ᾽ ἕκαστον, ὡς οὐδὲν πώποτε αὐτὸν ἐν ταῖς πρὸς βασιλέα διακονίαις παραβάλοιτο, προτιμηθείη δ᾽ ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν· κἀκείνου αὐτά τε ταῦτα ξυνομολογοῦντος, καὶ περὶ τοῦ παρόντος οὐκ ἐῶντος ὀργίζεσθαι, ἀλλὰ πίςιν ἐκ τοῦ ἱεροῦ διδόντος τῆς ἀναςάσεως, καὶ ἀξιοῦντος ὡς τάχιςα πορεύεσθαι, καὶ μὴ τὰ πρασσόμενα διακωλύειν.

134. Ἀκούσαντες δὲ ἀκριβῶς, τότε μὲν ἀπῆλθον οἱ ἔφοροι· βεβαίως δὲ ἤδη εἰδότες, ἐν τῆ πόλει τὴν ξύλληψιν ἐποιοῦντο. Λέγεται δ᾽ αὐτὸν μέλλοντα ξυλληφθήσεσθαι ἐν τῆ ὁδῷ, ἑνὸς μὲν τῶν ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ᾽ ᾧ ἐχώρει· ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου, καὶ δηλώσαντος εὐνοίᾳ, πρὸς τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ, καὶ προκαταφυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος. Καὶ ἐς οἴκημα οὐ μέγα, ὃ ἦν τοῦ ἱεροῦ, ἐσελθὼν, ἵνα μὴ ὑπαίθριος ταλαιπωροίη, ἡσύχαζεν. Οἱ δὲ, τοπαραυτίκα μὲν ὑςέρησαν τῆ διώξει· μετὰ δὲ τοῦτο, τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον, καὶ τὰς θυρας, ἔνδον ὄντα τηρήσαντες αὐτὸν, καὶ ἀπολαβόντες εἴσω, απῳκοδόμησαν· προσκαθεζόμενοί τε, ἐξεπολιόρκησαν λιμῷ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν, ὥσπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοι, ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα· καὶ ἐξαχθεὶς, ἀπέθανε παραχρῆμα. Καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν, οὗπερ τοὺς κακούργους ἐμβάλλειν εἰώθεισαν· ἔπειτα ἔδοξε πλησίον που κατορύξαι. Ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς τόν τε τάφον ὕςερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν, οὗπερ ἀπέθανε (καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δηλοῦσι), καὶ ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον, δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ ἀποδοῦναι. Οἱ δὲ ποιησάμενοι χαλκοῦς ἀνδριάντας δύο, ὡς ἀντὶ Παυσανίου ἀνέθησαν.

135. Οἱ δὲ Ἀθηναῖοι, ὡς καὶ τοῦ θεοῦ ἄγος κρίναντος, ἀντεπέταξαν τοῖς Λακεδαιμονίοις ἐλαύνειν αὐτό. Τοῦ δὲ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ξυνεπῃτιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων· ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. Οἱ δὲ, πεισθέντες (ἔτυχε γὰρ ὠςρακισμένος, καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμπουσι μετὰ τῶν Λακεδαιμονίων ἑτοίμων ὄντων ξυνδιώκειν, ἄνδρας οἷς εἴρητο ἄγειν, ὅπου ἂν περιτύχωσιν.

136. Ὁ δὲ Θεμιστοκλῆς προαισθόμενος, φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν, ὢν αὐτῶν εὐεργέτης. Δεδιέναι δὲ φασκόντων τῶν Κερκυραίων ἔχειν αὐτὸν, ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπέχθεσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. Καὶ διωκόμενος ὑπὸ τῶν προστεταγμένων, κατὰ πύστιν οἷ χωροίη, ἀναγκάζεται κατά τι ἄπορον παρὰ Ἄδμητον τὸν Μολοσσῶν βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν· ὁ δὲ, τῆς γυναικὸς ἱκέτης γενομένος, διδάσκεται ὑπ' αὐτῆς, τὸν παῖδα σφῶν λαβὼν καθίζεσθαι ἐπὶ τὴν ἑστίαν. Καὶ ἐλθόντος οὐ πολὺ ὕςερον τοῦ Ἀδμήτου, δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ ἀξιοῖ, εἴτι ἄρα αὐτὸς ἀντεῖπεν αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι. Καὶ γὰρ ἂν ὑπ' ἐκείνου πολλῷ ἀσθενεςέρου ἐν τῷ παρόντι κακῶς πάσχειν· γενναῖον δὲ εἶναι τοὺς ὁμοίους ἀπὸ τοῦ ἴσου τιμωρεῖσθαι. Καὶ ἅμα, αὐτὸς μὲν ἐκείνῳ χρείας τινὸς, καὶ οὐκ ἐς τὸ σῶμα σώζεσθαι, ἐναντιωθῆναι· ἐκεῖνον δ' ἂν εἰ ἐκδοίη αὐτὸν (εἰπὼν ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται), σωτηρίας ἂν τῆς ψυχῆς ἀποστερῆσαι. Ὁ δὲ ἀκούσας, ἀνίςησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο· καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο.

137. Καὶ ὕςερον οὐ πολλῷ τοῖς τε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι, καὶ πολλὰ εἰποῦσιν οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει, βουλόμενον ὡς βασιλέα πορευθῆναι, ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ, ἐς Πύδναν τὴν Ἀλεξάνδρου· ἐν ᾗ ὁλκάδος τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

καὶ ἐπιβὰς, καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον, ὃ ἐπολιόρκει Νάξον. Καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηΐ) δείσας φράζει τῷ ναυκλήρῳ ὅστις ἐστὶ, καὶ δι᾽ ἃ φεύγει· καὶ εἰ μὴ σώσει αὐτὸν, ἔφη ἐρεῖν, ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ ἀσφάλειαν εἶναι, μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς μέχρι πλοῦς γένηται· πειθομένῳ δ᾽ αὐτῷ, χάριν ἀπομνήσεσθαι ἀξίαν. Ο δὲ ναύκληρος ποιεῖται ταῦτα, καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ ςρατοπέδου, ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. Καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει, (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκτε Ἀθηνῶν παρὰ τῶν φίλων, καὶ ἐξ Ἄργους, ἃ ὑπεξέκειτο) καὶ μετὰ τῶν κάτω Περσῶν τινος πορευθεὶς ἄνω, ἐσπέμπει γράμματα εἰς βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου, νεωστὶ βασιλεύοντα. Ἐδήλου δ᾽ ἡ γραφὴ ὅτι,
« Θεμιστοκλῆς ἥκω παρά σε, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκη ἠμυνόμην· πολὺ δ᾽ ἔτι πλείω ἀγαθὰ, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοὶ, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. Καί μοι εὐεργεσία ὀφείλεται, (γράψας τήν τε ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως, καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προσεποιήσατο τότε δι᾽ αὐτὸν, οὐ διάλυσιν) καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι, πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν· βούλομαι δ᾽ ἐνιαυτὸν ἐπισχὼν, αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι. »

138. Βασιλεὺς δὲ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν, καὶ ἐκέλευσε, ποιεῖν οὕτως. Ο δ᾽ ἐν τῷ χρόνῳ, ὃν ἐπέσχε, τῆς τε Περσίδος γλώσσης ὅσα ἠδύνατο κατενόησε, καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας. Ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτὸν, γίγνεται παρ᾽ αὐτῷ μέγας, καὶ ὅσος οὐδείς πω Ἑλλήνων, διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν, καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν· μάλιστα δὲ ἀπὸ τοῦ πεῖραν διδοὺς ξυνετὸς φαίνεσθαι. Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι· οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν, οὔτ᾽ ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι᾽ ἐλαχίςης βουλῆς κράτιςος γνώμων, καὶ τῶν μελλόντων ἐπιπλεῖςον τοῦ γενησομένου ἄριστος εἰκαςής· καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο. Τό, τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα, καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιςος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. Νοσήσας δὲ, τελευτᾷ τὸν βίον. Λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτὸν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ, ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐςὶ τῇ Ἀσιανῇ, ἐν τῇ ἀγορᾷ· ταύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

της γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ, Μαγνησίαν μὲν, ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ· Λάμψακον δὲ, οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι)· Μυοῦντα δὲ, ὄψον. Τὰ δὲ ὀςᾶ φασὶ κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε, κελεύσαντος ἐκείνου, καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν, ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. Τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιςοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ᾽ ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησε.

139. Λακεδαιμόνιοι δὲ ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοιαῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρ᾽ Ἀθηναίους, Ποτιδαίας τε ἀπανίςασθαι ἐκέλευον, καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι· καὶ μάλιςά γε πάντων καὶ ἐνδηλότατα προὔλεγον, τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γενέσθαι πόλεμον, ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων ἀρχῇ, μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ. Οἱ δ᾽ Ἀθηναῖοι οὔτε τἄλλα ὑπήκουον, οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς, καὶ τῆς ἀορίςου, καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφιςαμένων. Τέλος δὲ, ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακεδαίμονος, Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου, καὶ λεγόντων ἄλλο μὲν οὐδὲν, ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε, ὅτι Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι, εἴη δ᾽ ἂν, εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε, ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι, γνώμας σφίσιν αὐτοῖς προὐτίθεσαν. Καὶ ἐδόκει, ἅπαξ, περὶ ἁπάντων βουλευσαμένους, ἀποκρίνεσθαι. Καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον, ἐπ᾽ ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις, καὶ ὡς χρὴ πολεμεῖν, καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης, ἀλλὰ καθελεῖν· καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ᾽ ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρῄνει τοιάδε.

140. « ΤΗΣ μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι, » μὴ εἴκειν Πελοποννησίοις· καίπερ εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν, καὶ ἐν τῷ ἔργῳ πράσσοντας, » πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. Ὁρῶ δὲ καὶ » νῦν ὅμοια καὶ παραπλήσια ξυμβουλευτέα μοι ὄντα, καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ, τοῖς κοινῇ δόξασιν, ἢν ἄρα τι καὶ σφαλώμεθα, βοηθεῖν· ἢ μηδὲ κατορθοῦντας, τῆς ξυνέσεως μεταποιεῖσθαι. Ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι, ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου. Διόπερ καὶ τὴν » τύχην, ὅσα ἂν παραλόγως ξυμβῇ, εἰώθαμεν αἰτιᾶσθαι. Λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες ἡμῖν, καὶ νῦν » οὐχ ἥκιςα. Εἰρημένον γὰρ δίκας μὲν τῶν διαφόρων ἀλλήλοις δι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴποτε καὶ αὖθις ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω, αὐτός τε νοσήσας, καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

49. Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. Τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως, ἀλλ' ἐξαίφνης, ὑγιεῖς ὄντας, πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ, καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανε, καὶ τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη ἦν, καὶ πνεῦμα ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπειτα, ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο· καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος, μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι, ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπήεσαν καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. Λύγξ τε τοῖς πλείοσιν ἐνέπιπτε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν, τοῖς μὲν, μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ, καὶ πολλῷ ὕστερον. Καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα, οὐκ ἄγαν θερμὸν ἦν, οὔτε χλωρὸν, ἀλλ' ὑπέρυθρον, πελιδνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκαίετο, ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς, μήτ' ἄλλο τι ἢ γυμνὸν ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν· καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων (ἀνθρώπων) καὶ ἔδρασαν ἐς φρέατα, ἀπαύστῳ τῇ δίψῃ ξυνεχόμενοι. Καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό τε πλέον καὶ ἔλασσον ποτόν. Καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐπέκειτο διαπαντός· καὶ τὸ σῶμα, ὅσον περ χρόνον καὶ ἡ νόσος ἀκμάζει, οὐκ ἐμαραίνετο, ἀλλ' ἀντεῖχε παρὰ δόξαν τῇ ταλαιπωρίᾳ· ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐνναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἢ, εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν, καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης, καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐπιπιπτούσης, οἱ πολλοὶ ὕστερον διὰ τὴν ἀσθένειαν διεφθείροντο. (καὶ) διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακόν· καὶ εἴτις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινε. Κατέσκηπτε γὰρ καὶ ἐς τὰ αἰδοῖα, καὶ ἐς ἄκρας χεῖρας, καὶ πόδας· καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον· εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. Τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

50. Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου, τά τε ἄλλα χαλεπωτέρως, ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ,

Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

καὶ ἐν τῷδε ἐδήλωσε μάλιϛα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τί. Τὰ γὰρ ὄρνεα καὶ τετράποδα, ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων, ἢ οὐ προσῄει, ἢ γευσάμενα διεφθείρετο. Τεκμήριον δὲ, τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως, οὔτε περὶ τοιοῦτον οὐδέν. Οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος, διὰ τὸ ξυνδιαιτᾶσθαι.

51. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάϛῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπίπαν τὴν ἰδέαν· καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. Ἔθνησκον δὲ, οἱ μὲν, ἀμελείᾳ, οἱ δὲ, καὶ πάνυ θεραπευόμενοι. Ἕν τε οὐδὲν κατέϛη ἴαμα, ὡς εἰπεῖν, ὅ,τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γάρ τῳ ξυνενεγκὸν, ἄλλον τοῦτο ἔβλαπτε. Σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ, ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει, καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. Δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ, ἥ τε ἀθυμία, ὁπότε τις αἴσθοιτο κάμνων, (πρὸς γὰρ τὸ ἀνέλπιϛον εὐθὺς τραπόμενοι τῇ γνώμῃ, πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς, καὶ οὐκ ἀντεῖχον) καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου, θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ τὰ πρόβατα, ἔθνηκον· καὶ τὸν πλεῖϛον φθόρον τοῦτο ἐνεποίει. Εἴτε γὰρ μὴ θέλοιεν δεδιότες ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἔρημοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴ τε προσίοιεν, διεφθείροντο· καὶ μάλιϛα οἱ ἀρετῆς τι μεταποιούμενοι· αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. Ἐπιπλέον δὲ ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο, διὰ τὸ προειδέναι τε, καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· δὶς γὰρ τὸν αὐτὸν, ὥϛε καὶ κτείνειν, οὐκ ἐπελάμβανε· καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ, καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης μήδ' ἂν ὑπ' ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

52. Ἐπίεσε δ' αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄϛυ, καὶ οὐχ' ἧσσον τοὺς ἐπελθόντας· οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων, ὁ φθόρος ἐγίγνετο, οὐδενὶ κόσμῳ, ἀλλὰ καὶ νεκροὶ ἐπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο· καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο, καὶ περὶ τὰς κρήνας ἁπάσας, ἡμιθνῆτες, τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ. Τά τε ἱερὰ, ἐν οἷς ἐσκήνηντο, νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων· ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ, οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅ,τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως· νόμοι τε πάντες ξυνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς. Ἔθαπτον δὲ

"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ὡς ἕκαστος ἠδύνατο· καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο, σπάνει τῶν ἐπιτηδείων, διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν· ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας, φθάσαντες τοὺς νήσαντας, οἱ μὲν, ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν ὑφῆπτον, οἱ δὲ, καιομένου ἄλλου, ἄνωθεν ἐπιβαλόντες, ὃν φέροιεν, ἀπῄεσαν.

53. Πρῶτόν τε ἦρξε καὶ ἐς τἄλλα τῇ πόλει ἐπιπλέον ἀνομίας τὸ νόσημα· ῥᾷον γὰρ ἐτόλμά τις, ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων, καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων· ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. Καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ, οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ, πρὶν ἐπ' αὐτὸ ἐλθεῖν, διαφθαρήσεται· ὅ,τι δὲ ἤδει τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸν κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. Θεῶν δὲ φόβος, ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε· τὸ μὲν, κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ, ἐκ τοῦ πάντας ὁρᾷν ἐν ἴσῳ ἀπολλυμένους· τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι· πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν, εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι.

54. Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τε ἔνδον θνησκόντων, καὶ γῆς ἔξω δῃουμένης. Ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι,

Ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.

Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν. Ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκότως, λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον, τὴν μνήμην ἐποιοῦντο. Ἢν δέ γε, οἶμαι, ποτὲ ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος, καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Μνήμη δὲ ἐγένετο καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν, ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι· περὶ μὲν οὖν τοῦ χρηστηρίου, τὰ γιγνόμενα εἴκαζον ὅμοια εἶναι. Ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων, ἡ νόσος ἤρξατο εὐθύς· καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ,τι καὶ ἄξιον εἰπεῖν· ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. Ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

# Ἐκ τῆς Γ' Ξυγγραφῆς.

70. Οἱ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων ἀφεθέντες, τῷ μὲν λόγῳ, ὀκτακοσίων ταλάντων τοῖς προξένοις διηγγυημένοι, ἔργῳ δὲ, πεπεισμένοι Κορινθίοις Κέρκυραν προσποιῆσαι. Καὶ ἔπρασσον οὗτοι ἕκαστον τῶν πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν. Καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας, πρέσβεις ἀγουσῶν, καὶ ἐς λόγους καταστάντων, ἐψηφίσαντο Κερκυραῖοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι, ὥσπερ καὶ πρότερον. Καὶ ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν Ἀθηναίων, καὶ τοῦ δήμου προειστήκει, ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες εἰς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν. Ὁ δὲ, ἀποφυγὼν, ἀνθυπάγει αὐτῶν τοὺς πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας ἐκ τοῦ τε Διὸς τεμένους καὶ τοῦ Ἀλκίνου· ζημία δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο στατήρ. Ὀφλόντων δὲ αὐτῶν, καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων, διὰ τὸ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὢν) πείθει ὥστε τῷ νόμῳ χρήσασθαι. Οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο, καὶ ἅμα ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστι, μέλλειν τὸ πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ ἐχθροὺς νομίζειν, ξυνίσταντό τε, καὶ λαβόντες ἐγχειρίδια, ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες, τόν τε Πειθίαν κτείνουσι, καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. Οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ, ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον ἔτι παροῦσαν.

71. Δράσαντες δὲ τοῦτο, καὶ ξυγκαλέσαντες Κερκυραίους, εἶπον ὅτι ταῦτα καὶ βέλτιστα εἴη, καὶ ἥκιστ' ἂν δουλωθεῖεν ὑπ' Ἀθηναίων· τό, τε λοιπὸν μηδετέρους δέχεσθαι, ἀλλ' ἢ μιᾷ νηῒ ἡσυχάζοντας, τὸ δὲ πλέον, πολέμιον ἡγεῖσθαι. Ὡς δ' εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην. Πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις, περί τε τῶν πεπραγμένων διδάξοντας, ὡς ξυνέφερε, καὶ τοὺς ἐκεῖ καταπεφευγότας πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν, ὅπως μή τις ἐπιστροφὴ γένηται.

72. Ἐλθόντων δὲ, οἱ Ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας ξυλλαβόντες, καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν. Ἐν δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» δόναι καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δί-
» κας πω ᾔτησαν, οὔτε ἡμῶν διδόντων δέχονται· βούλονται δὲ πολέ-
» μῳ μᾶλλον, ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι, καὶ ἐπιτάσσοντες
» ἤδη καὶ οὐκέτι αἰτιώμενοι πάρεισι. Ποτιδαίας τε γὰρ ἀπανίςα-
» σθαι κελεύουσι, καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι, καὶ τὸ Μεγαρέων
» ψήφισμα καθαιρεῖν. Οἱ δὲ τελευταῖοι ἤδη ἥκοντες, καὶ τοὺς Ἕλλη-
» νας προαγορεύουσιν αὐτονόμους ἀφιέναι. Ὑμῶν δὲ μηδεὶς νομίσῃ
» περὶ βραχέος ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοι-
» μεν· ὅπερ μάλιστα προὔχονται, εἰ καθαιρεθείη, μὴ ἂν γίγνεσθαι
» τὸν πόλεμον· μηδ' ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε ὡς διὰ μι-
» κρὸν ἐπολεμήσατε· τὸ γὰρ βραχὺ τοῦτο πᾶσαν ὑμῶν ἔχει τὴν βε-
» βαίωσιν καὶ πεῖραν τῆς γνώμης. Οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλο τι
» μεῖζον εὐθὺς ἐπιταχθήσεσθε, ὡς φόβῳ καὶ τοῦτο ὑπακούσαντες·
» ἀπισχυρισάμενοι δὲ, σαφὲς ἂν καταστήσοιτε αὐτοῖς, ἀπὸ τοῦ ἴσου
» ὑμῖν μᾶλλον προσφέρεσθαι.»

141. « Αὐτόθεν δὴ διανοήθητε, ἢ ὑπακούειν πρίν τι βλαβῆναι,
» ἢ, εἰ πολεμήσομεν (ὥσπερ ἔμοιγε ἄμεινον δοκεῖ εἶναι, καὶ ἐπὶ με-
» μάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προφάσει μὴ εἴξοντες, μηδὲ ξὺν φόβῳ
» ἕξοντες, ἃ κεκτήμεθα. Τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥ τε με-
» γίςη καὶ ἡ ἐλαχίςη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς
» πέλας ἐπιτασσομένη. Τὰ δὲ τοῦ πολέμου καὶ τῶν ἑκατέροις ὑπαρ-
» χόντων ὡς οὐκ ἀσθενέστερα ἕξομεν, γνῶτε καθ' ἕκαςον ἀκούοντες.
» Αὐτουργοί τε γάρ εἰσι Πελοποννήσιοι, καὶ οὔτε ἰδίᾳ, οὔτε ἐν κοι-
» νῷ χρήματά ἐςιν αὐτοῖς· ἔπειτα, χρονίων πολέμων καὶ διαπον-
» τίων ἄπειροι, διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπι-
» φέρειν· καὶ οἱ τοιοῦτοι, οὔτε ναῦς πληροῦντες, οὔτε πεζὰς ςρατιὰς
» πολλάκις ἐκπέμπειν δύνανται, ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες, καὶ
» ἀπὸ τῶν αὐτῶν δαπανῶντες, καὶ προσέτι καὶ θαλάσσης εἰργόμενοι.
» Αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον, ἢ αἱ βίαιοι ἐσφοραὶ ἀνέ-
» χουσι. Σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ τῶν ἀνθρώπων ἢ χρήμα-
» σι πολεμεῖν, τὸ μὲν, πιςὸν ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγε-
» νέσθαι, τὸ δὲ, οὐ βέβαιον μὴ οὐ προαναλώσειν, ἄλλως τε κἂν παρὰ
» δόξαν, ὅπερ εἰκὸς, ὁ πόλεμος αὐτοῖς μηκύνηται. Μάχῃ μὲν γὰρ μιᾷ
» πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἀν-
» τισχεῖν, πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι,
» ὅταν μή τε βουλευτηρίῳ ἑνὶ χρώμενοι, παραχρῆμά τι ὀξέως ἐπι-
» τελῶσι, πάντες τε ἰσόψηφοι ὄντες, καὶ οὐχ ὁμόφυλοι, τὸ ἐφ' ἑαυ-
» τὸν ἕκαςος σπεύδῃ· ἐξ ὧν φιλεῖ μηδὲν ἐπιτελὲς γίγνεσθαι. Καὶ
» γὰρ οἱ μὲν ὡς μάλιςα τιμωρήσασθαί τινα βούλονται, οἱ δὲ, ὡς
» ἥκιςα τὰ οἰκεῖα φθεῖραι· χρόνιοί τε ξυνιόντες, ἐν βραχεῖ μὲν μορίῳ
» σκοποῦσί τι τῶν κοινῶν, τῷ δὲ πλείονι τὰ οἰκεῖα πράσσουσι. Καὶ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ἕκαςος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν τὰ κοινά, » μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν· ὥστε τῷ αὐτῷ » ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ κοινὸν ἀθρόον φθει- » ρόμενον. »

142. « Μέγιστον δὲ, τῇ τῶν χρημάτων σπάνει κωλύσονται, ὅ- » ταν σχολῇ αὐτὰ ποριζόμενοι διαμέλλωσι· τοῦ δε πολέμου οἱ καιροὶ » οὐ μενετοί. Καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις, οὐδὲ τὸ ναυτικὸν αὐτῶν » ἄξιον φοϐηθῆναι. Τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντί- » παλον παρασκευάσασθαι, ἤπου δὴ ἐν πολεμίᾳ τε, καὶ οὐχ ἧσσον » ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων. Φρούριον δ' εἰ ποιήσονται, τῆς » μὲν γῆς βλάπτοιεν ἄν τι μέρος καταδρομαῖς καὶ αὐτομολίαις, » οὐ μέντοι ἱκανόν γε ἔςαι ἐπιτειχίζειν τε, καὶ κωλύειν ἡμᾶς, πλεύ- » σαντας ἐς τὴν ἐκείνων, καὶ ἧπερ ἰσχύομεν, ταῖς ναυσὶν ἀμύνε- » σθαι. Πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμ- » πειρίας, ἢ ἐκεῖνοι ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά. Τὸ δὲ τῆς » θαλάσσης ἐπιστήμονας γενέσθαι, οὐ ῥαδίως αὐτοῖς προσγενήσεται. » Οὐδὲ γὰρ ἡμεῖς, μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν, ἐξείρ- » γασθέ πω. Πῶς δὴ ἄνδρες γεωργοὶ, καὶ οὐ θαλάσσιοι, καὶ προσέτι » οὐδὲ μελετῆσαι ἐασόμενοι, διὰ τὸ ὑφ' ἡμῶν πολλαῖς ναυσὶν ἀεὶ » ἐφορμεῖσθαι, ἄξιον ἄν τι δρῷεν; πρὸς μὲν γὰρ ὀλίγας ναῦς ἐφορμού- » σας κἂν διακινδυνεύσειαν, πλήθει τὴν ἀμαθίαν θρασύνοντες, πολ- » λαῖς δὲ εἰργόμενοι, ἡσυχάσουσι· καὶ ἐν τῷ μὴ μελετῶντι, ἀξυνε- » τώτεροι ἔσονται, καὶ δι' αὐτὸ καὶ ὀκνηρότεροι. Τὸ δὲ ναυτικὸν, » τέχνης ἐςὶν, ὥσπερ καὶ ἄλλο τι, καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ » παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο » γίγνεσθαι. »

143. « Εἴτε καὶ κινήσαντες τῶν Ὀλυμπιάσιν ἢ Δελφοῖς χρημά- » των, μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαϐεῖν τοὺς ξένους τῶν » ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων, ἐσϐάντων αὐτῶν τε καὶ » τῶν μετοίκων, δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει, καὶ ὅπερ κρά- » τιςον, κυϐερνήτας ἔχομεν πολίτας, καὶ τὴν ἄλλην ὑπηρεσίαν, πλεί- » ους καὶ ἀμείνους ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. Καὶ ἐπὶ τῷ κινδύνῳ οὐδεὶς » ἂν δέξαιτο τῶν ξένων τήν τε αὐτοῦ φεύγειν, καὶ μετὰ τῆς ἥσσο- » νος ἅμα ἐλπίδος, ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως, » ἐκείνοις ξυναγωνίζεσθαι. Καὶ τὰ μὲν Πελοποννησίων ἔμοιγε τοιαῦ- » τα καὶ παραπλήσια δοκεῖ εἶναι· τὰ δὲ ἡμέτερα, τούτων τε ὧνπερ » [παρ] ἐκείνοις ἐμεμψάμην, ἀπηλλάχθαι, καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου » μεγάλα ἔχειν· ἥν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν » ἐκείνων πλευσούμεθα. Καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔςαι Πελοποννήσου » τε μέρος τι τμηθῆναι, καὶ τὴν Αττικὴν ἅπασαν. Οἱ μὲν γὰρ οὐχ » ἕξουσιν ἄλλην ἀντιλαϐεῖν ἀμαχεί· ἡμῖν δέ ἐςι γῆ πολλὴ, καὶ ἐν νή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» σοις, καὶ κατ' ἤπειρον· μέγα γὰρ τὸ τῆς θαλάσσης κράτος. Σκέ-
» ψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, τίνες ἂν αληπτότεροι ἦσαν; καὶ
» νῦν χρὴ ὅτι ἐγγύτατα τούτου διανοηθέντας, τὴν μὲν γῆν καὶ οἰ-
» κίας ἀφεῖναι, τῆς δὲ θαλάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πε-
» λοποννησίοις ὑπὲρ αὐτῶν ὀργισθέντας, πολλῷ πλείοσι μὴ διαμά-
» χεσθαι (κρατήσαντές τε γὰρ, αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα,
» καὶ ἢν σφαλῶμεν, τὰ τῶν ξυμμάχων, ὅθεν ἰσχύομεν, προσαπόλ-
» λυται. Οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς
» ϛρατεύειν)· τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι, ἀλλὰ
» τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄνδρες ταῦτα
» κτῶνται. Καὶ εἰ ᾤμην πείσειν, ὑμᾶς αὐτοὺς ἂν ἐξελθόντας ἐκέλευον
» αὐτὰ δῃῶσαι, καὶ δεῖξαι Πελοποννησίοις ὅτι τούτων γε ἕνεκα οὐχ
» ὑπακούσεσθε. »

144. « Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν ἐ-
» θέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες, καὶ κινδύνους
» αὐθαιρέτους μὴ προστίθεσθαι· μᾶλον γὰρ πεφόβημαι τὰς οἰκείας ἡ-
» μῶν ἁμαρτίας, ἢ τὰς τῶν ἐναντίων διανοίας. Ἀλλ ἐκεῖνα μὲν
» καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τούτοις ἀπο-
» κρινάμενοι, ἀποπέμψωμεν, Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ
» λιμέσι χρῆσθαι, ἢν καὶ Λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι, μή-
» τε ἡμῶν, μήτε τῶν ἡμετέρων ξυμμάχων· οὔτε γὰρ ἐκεῖνο κωλύει
» ἐν ταῖς σπονδαῖς, οὔτε τόδε. Τὰς δὲ πολεις ὅτι αὐτονόμους ἀφήσο-
» μεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα, καὶ ὅταν κἀκεῖνοι
» ταῖς ἑαυτῶν ἀποδῶσι πόλεσι, μὴ σφίσι τοῖς Λακεδαιμονίοις ἐπιτη-
» δείως αὐτονομεῖσθαι, ἀλλὰ αὐτοῖς ἑκάϛοις, ὡς βούλονται· δίκας δὲ
» ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας· πολέμου δὲ οὐκ ἄρξομεν,
» ἀρχομένους δὲ ἀμυνούμεθα. Ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα
» τῇδε τῇ πόλει ἀποκρίνασθαι. Εἰδέναι δὲ χρὴ, ὅτι ἀνάγκη πολεμεῖν·
» ἢν δὲ ἑκούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναν-
» τίους ἕξομεν. Ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδι-
» ώτῃ μέγιϛαι τιμαὶ περιγίγνονται. Οἱ γοῦν πατέρες ἡμῶν ὑποϛάν-
» τες Μήδους, καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι, ἀλλὰ καὶ τὰ ὑπάρ-
» χοντα ἐκλείποντες, γνώμῃ τε πλείονι ἢ τύχῃ, καὶ τόλμῃ μείζονι
» ἢ δυνάμει, τόν τε βάρβαρον ἀπεώσαντο, καὶ ἐς τάδε προήγαγον
» αὐτά· ὧν οὐ χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ
» ἀμύνεσθαι, καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω
» παραδοῦναι. »

145. Ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν· οἱ δ' Ἀθηναῖοι νομίσαν-
τες ἄριστα σφίσι παραινεῖν αὐτὸν, ἐψηφίσαντο ἃ ἐκέλευε· καὶ τοῖς
τε Λακεδαιμονίοις ἀπεκρίναντο, τῇ ἐκείνου γνώμῃ, καθ' ἕκαστά τε
ὡς ἔφρασε, καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δε κα-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τὰ τὰς ξυνθήκας ἕτοιμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων, ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ. Καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο.

146. Αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ· ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς, καὶ παρ' ἀλλήλους ἐφοίτων, ἀκηρύκτως μὲν, ἀνυπόπτως δὲ οὔ. Σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν, καὶ πρόφασις τοῦ πολεμεῖν.

## Ἐκ τῆς Β' Ξυγγραφῆς.

47. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ. Καὶ διελθόντος αὐτοῦ, πρῶτον ἔτος τοῦ πολέμου τοῦδε ἐτελεύτα. Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τὰ δύο μέρη, ὥσπερ καὶ τοπρῶτον, ἐσέβαλον ἐς τὴν Ἀττικὴν, (ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεὺς) καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. Καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις· οὐ μέντοι τοσοῦτός γε λοιμὸς, οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι· οὔτε γὰρ ἰατροὶ ἤρκουν τοπρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν, ἢ μαντείοις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν. Τελευτῶντές τε αὐτῶν ἀπέστησαν, ὑπὸ τοῦ κακοῦ νικώμενοι.

48. Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη, καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν. Ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσε καὶ τοπρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν, ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι· ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. Λεγέτω μὲν οὖν περὶ αὐτοῦ ὡς ἕκαστος γιγνώσκει, καὶ ἰατρὸς, καὶ ἰδιώτης, ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας, ἅς τινας νομίζει τοσαύτης

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τούτῳ, τῶν τε Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα, ἐλθούσης τριήρους Κορινθίας, καὶ Λακεδαιμονίων πρέσβεων, ἐπιτίθενται τῷ δήμῳ· καὶ μαχόμενοι ἐνίκησαν. Ἀφικομένης δὲ νυκτὸς, ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει, καὶ αὐτοῦ ξυλλεγεὶς ἱδρύνθη· καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον. Οἱ δὲ, τήν τε ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ τὸν λιμένα τον πρὸς αὐτὴν καὶ πρὸς τὴν ἤπειρον.

73. Τῇ δ' ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα, καὶ ἐς τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι, τοὺς δούλους παρακαλοῦντές τε, καὶ ἐλευθερίαν ὑπισχνούμενοι. Καὶ τῷ μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον, τοῖς δ' ἑτέροις, ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

74. Διαλιπούσης δ' ἡμέρας, μάχη αὖθις γίγνεται, καὶ νικᾷ ὁ δῆμος, χωρίων τε ἰσχύϊ καὶ πλήθει προέχων· αἵ τε γυναῖκες αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ, καὶ παρα φύσιν ὑπομένουσαι τὸν θόρυβον. Γενομένης δὲ τῆς τροπῆς περὶ δειλὴν ὀψίαν, δείσαντες οἱ ὀλίγοι μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν ἐπελθὼν, καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς, καὶ τὰς ξυνοικίας, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας, οὔτε ἀλλοτρίας· ὥςε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη, καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν. Καὶ οἱ μὲν, παυσάμενοι τῆς μάχης, ὡς ἑκάτεροι ἡσυχάσαντες, τὴν νύκτα ἐν φυλακῇ ἦσαν. Καὶ ἡ Κορινθία ναῦς, τοῦ δήμου κεκρατηκότος, ὑπεξανήγετο, καὶ τῶν ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν.

75. Τῇ δ' ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διϊτρέφους, Ἀθηναίων ςρατηγὸς, παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου δώδεκα ναυσὶ, καὶ Μεσσηνίων πεντακοσίοις ὁπλίταις. Ξύμβασίν τε ἔπρασσε, καὶ πείθει ὥστε ξυγχωρῆσαι ἀλλήλοις, δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι, οἳ οὐκέτι ἔμειναν· τοὺς δ' ἄλλους οἰκεῖν, σπονδὰς πρὸς ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους, ὥςε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν. Καὶ ὁ μὲν, ταῦτα πράξας, ἔμελλεν ἀποπλεύσεσθαι· οἱ δὲ τοῦ δήμου προςάται πείθουσιν αὐτὸν, πέντε μὲν ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι ἐν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες ἐκ σφῶν αὐτῶν, ξυμπέμψειν. Καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ, τοὺς ἐχθροὺς κατέλεγον ἐς τὰς ναῦς. Δείσαντες δὲ ἐκεῖνοι μὴ ἐς τὰς Ἀθήνας ἀποπεμφθῶσι, καθίζουσιν ἐς τὸ τῶν Διοσκούρων ἱερόν. Νικόςρατος δὲ αὐτοὺς ἀνίςη τε καὶ παρεμυθεῖτο. Ὡς δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ ξυμπλεῖν ἀπιστίᾳ,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν ἔλαβε, καὶ αὐτῶν τινας, οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσε, διέφθειραν ἄν. Ὁρῶντες δ' οἱ ἄλλοι τὰ γιγνόμενα, καθίζουσιν ἐς τὸ Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. Ὁ δὲ δῆμος, δείσας μή τι νεωτερήσωσιν, ἀνίστησί τε αὐτοὺς πείσας, καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

76. Τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν, αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες, μετὰ τὸν ἐκ τῆς Ἰωνίας πλοῦν, ἔφορμοι οὖσαι, παραγίγνονται τρεῖς καὶ πεντήκοντα. Ἦρχε δὲ αὐτῶν Ἀλκίδας, ὥσπερ καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει. Ὁρμισάμενοι δὲ ἐς Σύβοτα λιμένα τῆς ἠπείρου, ἅμα ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ.

77. Οἱ δὲ, πολλῷ θορύβῳ, καὶ πεφοβημένοι τά τ' ἐν τῇ πόλει καὶ τὸν ἐπίπλουν, παρεσκευάζοντό τε ἅμα ἑξήκοντα ναῦς, καὶ τὰς αἰεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον ἐκπλεῦσαι, καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι. Ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, δύο μὲν εὐθὺς ηὐτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ ἐμπλέοντες ἐμάχοντο. Ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων. Ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχὴν, εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων, ὧν ἦσαν αἱ δύο, Σαλαμινία, καὶ Πάραλος.

78. Καὶ οἱ μὲν Κερκυραῖοι, κακῶς τε καὶ κατ' ὀλίγας προσπίπτοντες, ἐταλαιπωροῦντο καθ' αὑτούς· οἱ δ' Ἀθηναῖοι, φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύκλωσιν, ἀθρόαις μὲν οὐ προσέπιπτον, οὐδὲ κατὰ μέσον ταῖς ἐφ' ἑαυτοὺς τεταγμέναις· προσβαλόντες δὲ κατὰ κέρας, καταδύουσι μίαν ναῦν. Καὶ μετὰ ταῦτα κύκλον ταξαμένων αὐτῶν, περιέπλεον, καὶ ἐπειρῶντο θορυβεῖν. Γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις, καὶ δείσαντες, μὴ ὅπερ ἐν Ναυπάκτῳ γένοιτο, ἐπιβοηθοῦσι· καὶ γενόμεναι ἀθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθηναίοις ἐποιοῦντο. Οἱ δ' ὑπεχώρουν ἤδη, πρύμναν κρουόμενοι. καὶ ἅμα τὰς τῶν Κερκυραίων ἐβούλοντο προκαταφυγεῖν, ὅτιμάλιστα ἑαυτῶν σχολῇ τε ὑποχωρούντων, καὶ πρὸς σφᾶς τεταγμένων τῶν ἐναντίων. Ἡ μὲν οὖν ναυμαχία, τοιαύτη γενομένη, ἐτελεύτα ἐς ἡλίου δύσιν.

79. Καὶ οἱ Κερκυραῖοι, δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ τὴν πόλιν ὡς κρατοῦντες οἱ πολέμιοι, ἢ τοὺς ἐκ τῆς νήσου ἀναλάβωσιν, ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ Ἡραῖον διεκόμισαν, καὶ τὴν πόλιν ἐφύλασσον. Οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι, κρατοῦντες τῇ ναυμαχίᾳ, τρεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες τῶν Κερκυραίων, ἀπέπλεσαν ἐς τὴν ἤπειρον, ὅθενπερ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἀνηγάγοντο. Τῇ δ' ὑςεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας, καὶ Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμνην τὸ ἀκρωτήριον ἀποβάντες, ἐπύρθουν τοὺς ἀγρούς.

80. Ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ περιδεὴς γενόμενος μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ᾔεσαν ἐς λόγους, καὶ τοῖς ἄλλοις, ὅπως σωθήσεται ἡ πόλις. Καί τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐμβῆναι· ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα, προσδεχόμενοι τὸν ἐπίπλουν. Οἱ δὲ Πελοποννήσιοι μέχρι μέσου ἡμέρας δῃώσαντες τὴν γῆν, ἀπέπλευσαν. Καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν ἑξήκοντα νῆες Ἀθηναίων, προσπλέουσαι ἀπὸ Λευκάδος, ἃς οἱ Ἀθηναῖοι, πυνθανόμενοι τὴν στάσιν, καὶ τὰς μετ' Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν, ἀπέστειλαν, καὶ Εὐρυμέδοντα τὸν Θουκλέους ςρατηγόν.

81. Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ, αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας, τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας· καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες, ἃς ἐπλήρωσαν, ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβάζοντες, ἀπεχώρησαν· ἐς τὸ Ἡραῖόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν, καὶ κατέγνωσαν ἁπάντων θάνατον. Οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο· οἱ δ', ὡς ἕκαςοι ἐδύναντο, ἀνηλοῦντο. Ἡμέρας τε ἑπτὰ, ἃς ἀφικόμενος Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινεν, οἱ Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων. Πᾶσά τε ἰδέα κατέςη θανάτου, καὶ, οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ, τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω· καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο· οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. Οὕτως ὠμὴ ςάσις προὐχώρησε· καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο.

82. Ἐπεὶ ὕςερόν γε καὶ πᾶν, ὡς εἰπεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκαςαχοῦ, τοῖς τε τῶν δήμων προςάταις τοὺς Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους· καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων πρόφασιν, οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς·



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

πολεμουμένων δὲ, καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει, καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει, ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τι βουλομένοις ἐπορίζοντο. Καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν, καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, μᾶλλον δὲ καὶ ἡσυχαίτερα, καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. Ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι, διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος, ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν, βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που, πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ· καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. Τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθὴς, δειλία εὐπρεπής. Τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν· τὸ δ' ἐμπλήκτως ὀξὺ, ἀνδρὸς μοίρᾳ προσετέθη· ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. Καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος. Ἐπιβουλεύσας δέ τις τυχὼν, ξυνετὸς, καὶ ὑπονοήσας, ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσοι, τῆς τε ἑταιρίας διαλυτὴς, καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος· ἁπλῶς δὲ, ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾷν, ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν. Οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. Καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο, ἢ τῷ κοινῇ τι παρανομῆσαι. Τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι, ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν, ἢ αὐτὸν μὴ προπαθεῖν· καὶ ὅρκοι εἴπου ἄρα γένοιντο ξυναλλαγῆς ἐν τῷ αὐτίκα πρὸς το ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν. Ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢ ἀπὸ τοῦ προφανοῦς· καὶ τό, τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι ἀπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσελάμβανε. Ῥᾷον δ' οἱ πολλοὶ, κακοῦργοι ὄντες, δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. Πάντων δ' αὐτῶν αἴτιον ἡ ἀρχὴ, ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν, καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

νομίας πολιτικῆς, καὶ ἀριςοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῄεσάν τε, τὰς τιμωρίας ἔτι μείζους οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς δὲ τὸ ἑκατέροις που αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐμπιμπλάναι· ὥςε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου, οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον. Τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο.

83. Οὕτω πᾶσα ἰδέα κατέςη κακοτροπίας διὰ τὰς ςάσεις τῷ Ἑλληνικῷ. Καὶ τὸ εὔηθες (οὗ τὸ γενναῖον πλεῖςον μετέχει) καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίςως, ἐπιπολὺ διήνεγκεν· οὐ γὰρ ἦν ὁ διαλύσων, οὔτε λόγος ἐχυρὸς, οὔτε ὅρκος φοβερός· κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιςον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πιςεῦσαι ἐδύναντο. Καὶ οἱ φαυλότεροι γνώμην, ὡς τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό, τε αὐτῶν ἐνδεὲς, καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἥσσους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. Οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν, ἃ γνώμῃ ἔξεςιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

84. Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη, καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τοπλέον ἢ σωφροσύνῃ, ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων, οἱ ἀνταμυνόμενοι δράσειαν· πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστα δ' ἂν διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην γιγνώσκοιεν· οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ ἀπὸ ἴσου δὲ μάλιστα ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖςον ἐκφερόμενοι, ὠμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν. Ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν καιρὸν τοῦτον τῇ πόλει, καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία φύσις, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, ἀσμένη ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ δικαίου, πολεμία δὲ τοῦ προὔχοντος. Οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τιμωρεῖσθαι προὐτίθεσαν, τοῦ τε μὴ ἀδικεῖν τὸ κερδαίνειν, ἐν ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν. Ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι νόμους, ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι, ἐν ἄλλων τιμωρίαις προκαταλύειν, καὶ μὴ ὑπολείπεσθαι, εἴποτε ἄρα τις κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.

85. Οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι, τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο. Καὶ ὁ Εὐρυμέδων καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν. Ὕςερον δὲ οἱ φεύγοντες τῶν Κερκυραί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ων (διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους) τείχη τε λαβόντες ἃ ἦν ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς, καὶ ἐξ αὐτῆς ὁρμώμενοι, ἐλῄζοντο τοὺς ἐν τῇ νήσῳ, καὶ πολλὰ ἔβλαπτον· καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει. Ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕϛερον χρόνῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι, διέβησαν ἐς τὴν νῆσον ἑξακόσιοι μάλιϛα οἱ πάντες· καὶ τὰ πλοῖα ἐμπρήσαντες, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰςώνην, τεῖχος ἐνοικοδομησάμενοι, ἔφθειρον τοὺς ἐν τῇ πόλει, καὶ τῆς γῆς ἐκράτουν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ΕΚ ΤΗΣ ΠΕΜΠΤΗΣ ΤΩΝ ΙΣΤΟΡΙΩΝ

# ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΗΟΣ

ΕΠΙΓΡΑΦΟΜΕΝΗΣ ΤΕΡΨΙΧΟΡΗ.

96. Ἱππίης δὲ ἐπεί τε ἀπίκετο ἐκ τῆς Λακεδαίμονος ἐς τὴν Ἀσίην, πᾶν χρῆμα ἐκίνεε, διαβάλλων τε τοὺς Ἀθηναίους πρὸς τὸν Ἀρταφέρνεα, καὶ ποιέων ἅπαντα ὅκως αἱ Ἀθῆναι γενοίατο ὑπ' ἑωϋτῷ τε καὶ Δαρείῳ. Ἱππίης τε δὴ ταῦτα ἔπρησσε· καὶ οἱ Ἀθηναῖοι πυθόμενοι ταῦτα, πέμπουσι ἐς Σάρδις ἀγγέλους, οὐκ ἐῶντας τοὺς Πέρσας πείθεσθαι Ἀθηναίων τοῖσι φυγάσι. Ὁ δὲ Ἀρταφέρνης ἐκέλευέ σφεας, εἰ βουλοίατο σόοι εἶναι, καταδέκεσθαι ὀπίσω Ἱππίην. Οὔκων δὴ ἐνεδέκοντο τοὺς λόγους ἀποφερομένους Ἀθηναῖοι· οὐκ ἐνδεκομένοισι δέ σφι, ἐδέδοκτο ἐκ τοῦ φανεροῦ τοῖσι Πέρσῃσι πολεμίους εἶναι.

97. ΝΟΜΙΖΟΥΣΙ δὴ ταῦτα, καὶ διαβεβλημένοισι ἐς τοὺς Πέρσας, ἐν τούτῳ δὴ τῷ καιρῷ ὁ Μιλήσιος Ἀρισταγόρης ὑπὸ Κλεομένεος τοῦ Λακεδαιμονίου ἐξελαθεὶς ἐκ τῆς Σπάρτης, ἀπίκετο ἐς Ἀθήνας· αὕτη γὰρ ἡ πόλις τῶν λοιπέων ἐδυνάστευε μέγιστα. Ἐπελθὼν δὲ ἐπὶ τὸν δῆμον ὁ Ἀρισταγόρης, ταῦτα ἔλεγε τὰ καὶ ἐν τῇ Σπάρτῃ, περὶ τῶν ἀγαθῶν τῶν ἐν τῇ Ἀσίῃ, καὶ τοῦ πολέμου τοῦ Περσικοῦ, ὡς οὔτε ἀσπίδα οὔτε δόρυ νομίζουσι, εὐπετέες τε χειρωθῆναι εἴησαν. Ταῦτά τε δὴ ἔλεγε, καὶ πρὸς τοῖσι τάδε, ὡς οἱ Μιλήσιοι τῶν Ἀθηναίων εἰσὶ ἄποικοι, καὶ εἰκός σφεας εἴη ῥύεσθαι δυναμένους μέγα· καὶ οὐδὲν ὅ,τι οὐκ ὑπίσχετο, οἷα κάρτα δεόμενος· ἐς ὃ ἀνέπεισέ σφεας. Πολλοὺς γὰρ οἶκε εἶναι εὐπετέστερον διαβάλλειν ἢ ἕνα, εἰ Κλεομένεα μὲν τὸν Λακεδαιμόνιον μοῦνον οὐκ οἷός τε ἐγένετο διαβαλέειν, τρεῖς δὲ μυριάδας Ἀθηναίων ἐποίησε τοῦτο. Ἀθηναῖοι μὲν δὴ ἀναπεισθέντες, ἐψηφίσαντο εἴκοσι νέας ἀποστεῖλαι βοηθοὺς Ἴωσι, στρατηγὸν ἀποδέξαντες αὐτέων εἶναι Μελάνθιον, ἄνδρα τῶν ἀστῶν, ἐόντα τὰ πάντα δόκιμον. Αὗται δὲ αἱ νέες, ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε καὶ βαρβάροισι.

99. Ἀρισταγόρης δὲ, ἐπειδὴ οἵ τε Ἀθηναῖοι ἀπικέατο εἴκοσι νηυσὶ, ἅμα ἀγόμενοι Ἐρετριέων πέντε τριήρεας, οἳ οὐ τὴν Ἀθηναίων χάριν ἐστρατεύοντο, ἀλλὰ τὴν αὐτέων Μιλησίων, ὀφειλόμενά σφι ἀποδιδόντες· οἱ γὰρ δὴ Μιλήσιοι πρότερον τοῖσι Ἐρετριεῦσι τὸν πρὸς Χαλκιδέας πόλεμον συνδιένεικαν, ὅτεπερ καὶ Χαλκιδεῦσι ἀντία Ἐρετριέων καὶ Μιλησίων Σάμιοι ἐβοήθεον· οὗτοι ὦν ἐπεί τέ σφι ἀπικέατο, καὶ οἱ ἄλλοι σύμμαχοι παρῆσαν, ἐποιέετο στρατηΐην ὁ Ἀρισταγόρης ἐς Σάρδις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

100. Ἀπικόμενοι δὲ τῷ στόλῳ τούτῳ Ἴωνες ἐς Ἔφεσον, πλοῖα μὲν κατέλιπον ἐν Κορήσσῳ τῆς Ἐφεσίης· αὐτοὶ δὲ ἀνέβαινον χειρὶ πολλῇ, ποιεύμενοι Ἐφεσίους ἡγεμόνας. Πορευόμενοι δὲ παρὰ ποταμὸν Καΰστριον, ἐνθεῦτεν ἐπεί τε ὑπερβάντες τὸν Τμῶλον ἀπίκοντο, αἱρέουσι Σάρδις, οὐδενός σφι ἀντιωθέντος· αἱρέουσι δὲ χωρὶς τῆς ἀκροπόλιος τἆλλα πάντα· τὴν δὲ ἀκρόπολιν ἐρρύετο αὐτὸς Ἀρταφέρνης, ἔχων δύναμιν ἀνδρῶν οὐκ ὀλίγην. Τὸ δὲ μὴ λεηλατῆσαι ἑλόντας σφέας τὴν πόλιν, ἔσχε τόδε. Ἔσαν ἐν τῇσι Σάρδισι οἰκίαι, αἱ μὲν πλεῦνες, καλάμιναι· ὅσαι δ' αὐτέων καὶ πλίνθιναι ἔσαν, καλάμου εἶχον τὰς ὀροφάς. Του·έων δὴ μίην τῶν τις στρατιωτέων ὡς ἐνέπρησε, αὐτίκα ἀπ' οἰκίης ἐς οἰκίην ἰὸν τὸ πῦρ, ἐπενέμετο τὸ ἄστυ ἅπαν. Καιομένου δὲ τοῦ ἄστεος, οἱ Λυδοί τε καὶ ὅσοι Περσέων ἐνῆσαν ἐν τῇ πόλι, ἀπολαμφθέντες πάντοθεν, ὥστε τὰ περιέσχατα νεμομένου τοῦ πυρός, καὶ οὐκ ἔχοντος ἐξήλυσιν ἐκ τοῦ ἄστεος, συνέῤῥεον ἔς τε τὴν ἀγορὴν καὶ ἐπὶ τὸν Πακτωλὸν ποταμὸν, ὅς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ τοῦ Τμώλου, διὰ μέσης τῆς ἀγορῆς ῥέει, καὶ ἔπειτα ἐς τὸν Ἕρμον ποταμὸν ἐκδιδοῖ, ὁ δὲ, ἐς θάλασσαν· ἐπὶ τοῦτον δὴ τὸν Πακτωλὸν καὶ ἐς τὴν ἀγορὴν ἀθροιζόμενοι, οἵ τε Λυδοὶ καὶ οἱ Πέρσαι ἠναγκάζοντο ἀμύνεσθαι. Οἱ δὲ Ἴωνες ὁρέοντες τοὺς μὲν τῶν πολεμίων ἀμυνομένους, τοὺς δὲ, σὺν πλήθεϊ πολλῷ προσφερομένους, ἐξανεχώρησαν δείσαντες πρὸς τὸ οὖρος τὸ Τμῶλον καλεόμενον· ἐνθεῦτεν δὲ ὑπὸ νύκτα ἀπαλλάσσοντο ἐπὶ τὰς νέας. Καὶ Σάρδις μὲν ἐνεπρήσθησαν, ἐν δὲ αὐτῇσι καὶ ἱρὸν ἐπιχωρίης θεοῦ Κυβήβης· τὸ σκηπτόμενοι οἱ Πέρσαι, ὕστερον ἀντενεπίμπρασαν τὰ ἐν Ἕλλησι ἱρά. Τότε δὲ οἱ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ νομοὺς ἔχοντες, προπυνθανόμενοι ταῦτα, συνηλίζοντο καὶ ἐβοήθεον τοῖσι Λυδοῖσι. Καί κως ἐν μὲν Σάρδισι οὐκέτι ἐόντας τοὺς Ἴωνας εὑρίσκουσι· ἑπόμενοι δὲ κατὰ στίβον, αἱρέουσι αὐτοὺς ἐν Ἐφέσῳ. Καὶ ἀντετάχθησαν μὲν οἱ Ἴωνες· συμβαλόντες δὲ, πολλὸν ἑσσώθησαν. Καὶ πολλοὺς αὐτέων οἱ Πέρσαι φονεύουσι, ἄλλους τε οὐνομαστοὺς, ἐν δὲ δὴ καὶ Εὐαλκίδεα στρατηγέοντα Ἐρετριέων, στεφανηφόρους τε ἀγῶνας ἀναραιρηκότα, καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου πολλὰ αἰνεθέντα. Οἳ δὲ αὐτέων ἀπέφυγον τὴν μάχην, ἐσκεδάσθησαν ἀνὰ τὰς πόλιας. Τότε μὲν δὴ οὕτω ἠγωνίσαντο· μετὰ δὲ Ἀθηναῖοι μὲν τοπαράπαν ἀπολιπόντες τοὺς Ἴωνας, ἐπικαλεομένου σφέας πολλὰ δι' ἀγγέλων Ἀρισταγόρεω, οὐκ ἔφασαν τιμωρήσειν σφίσι.

105. Βασιλέϊ δὲ Δαρείῳ ὡς ἐξαγγέλθη Σάρδις ἁλούσας ἐμπεπρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγεμόνα γενέσθαι τῆς συλλογῆς, ὥστε ταῦτα συνυφανθῆναι, τὸν Μιλήσιον Ἀρισταγόρην, πρῶτα μὲν λέγεται αὐτὸν, ὡς ἐπύθετο ταῦτα, Ἰώνων οὐδένα λόγον ποιησάμενον, εὖ εἰδότα ὡς οὗτοί γε οὐ καταπροΐξονται ἀποστάντες, εἴρεσθαι οἵτινες εἶεν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

οἱ Ἀθηναῖοι· μετὰ δὲ, πυθόμενον, αἰτῆσαι τὸ τόξον· λαβόντα δὲ καὶ ἐπιθέντα ὀϊςὸν, ἄνω ἐς τὸν οὐρανὸν ἀπεῖναι· καί μιν ἐς τὸν ἠέρα βαλόντα, εἰπεῖν, « Ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τίσασθαι. » Εἴπαντα δὲ ταῦτα, προςάξαι ἑνὶ τῶν θεραπόντων, δείπνου προκειμένου αὐτῷ, ἐς τρὶς ἑκάστοτε εἰπεῖν, « Δέσποτα, μέμνεο τῶν Ἀθηναίων. »

ΕΚ ΤΗΣ ΕΚΤΗΣ ΤΩΝ ΙΣΤΟΡΙΩΝ

# ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΗΟΣ

## ΕΠΙΓΡΑΦΟΜΕΝΗΣ ΕΡΑΤΩ.

94. Ο ΔΕ Πέρσας τὸ ἑωϋτοῦ ἐποίεε, ὥςε ἀναμιμνήσκοντός τε αἰεὶ τοῦ θεράποντος, μεμνῆσθαί μιν τῶν Ἀθηναίων, καὶ Πεισιστρατιδέων προσκατημένων καὶ διαβαλλόντων Ἀθηναίους· ἅμα δὲ βουλόμενος ὁ Δαρεῖος, ταύτης ἐχόμενος τῆς προφάσιος, καταστρέφεσθαι τῆς Ἑλλάδος τοὺς μὴ δόντας αὐτῷ γῆν τε καὶ ὕδωρ, Μαρδόνιον μὲν δὴ φλαύρως πρήξαντα τῷ ςόλῳ, παραλύει τῆς ςρατηγίης· ἄλλους δὲ ςρατηγοὺς ἀποδέξας, ἀπέςειλε ἐπί τε Ἐρέτριαν καὶ Ἀθήνας, Δᾶτίν τε ἐόντα Μῆδον γένος, καὶ Ἀρταφέρνεα τὸν Ἀρταφέρνεος παῖδα, ἀδελφιδέον ἑωϋτοῦ· ἐντειλάμενος δὲ ἀπέπεμπε, ἐξανδραποδίσαντας Ἀθήνας καὶ Ἐρέτριαν, ἄγειν ἑωϋτῷ ἐς ὄψιν τὰ ἀνδράποδα. Ὡς δὲ οἱ στρατηγοὶ οὗτοι οἱ ἀποδεχθέντες πορευόμενοι παρὰ βασιλῆος, ἀπίκοντο τῆς Κιλικίης ἐς τὸ Ἀλήϊον πεδίον, ἅμα ἀγόμενοι πεζὸν ςρατὸν πολλόν τε καὶ εὖ ἐσκευασμένον, ἐνθαῦτα στρατοπεδευομένοισι ἐπῆλθε μὲν ὁ ναυτικὸς πᾶς στρατὸς ὁ ἐπιταχθεὶς ἑκάςοισι· παρεγένοντο δὲ καὶ αἱ ἱππαγωγοὶ νέες, τὰς τῷ προτέρῳ ἔτεϊ προεῖπε τοῖσι ἑωϋτοῦ δασμοφόροισι Δαρεῖος ἑτοιμάζειν. Ἐσβαλόμενοι δὲ τοὺς ἵππους ἐς ταύτας, καὶ τὸν πεζὸν ςρατὸν ἐσβιβάσαντες ἐς τὰς νέας, ἔπλεον ἑξακοσίῃσι τριήρεσι ἐς τὴν Ἰωνίην. Ἐνθεῦτεν δὲ οὐ παρὰ τὴν ἤπειρον ἔχον τὰς νέας ἰθὺ τοῦ τε Ἑλλησπόντου καὶ τῆς Θρηΐκης, ἀλλ' ἐκ Σάμου ὁρμεώμενοι, παρά τε Ἰκάριον καὶ διὰ νήσων τον πλόον ἐποιεῦντο· ὡς μὲν ἐμοὶ δοκέειν, δείσαντες μάλιςα τὸν περίπλοον τοῦ Ἄθω, ὅτι τῷ προτέρῳ ἔτεϊ ποιεύμενοι ταύτῃ τὴν κομιδὴν, μεγάλως προσέπταισαν· πρὸς δὲ, καὶ ἡ Νάξος σφέας ἠνάγκαζε, πρότερον οὐκ ἁλοῦσα. Ἐπεὶ δὲ ἐκ τοῦ Ἰκαρίου πελάγεος προσφερόμενοι προσέμιξαν τῇ Νάξῳ, ἐπὶ ταύτην γὰρ δὴ πρώτην ἐπεῖχον ςρατεύεσθαι οἱ Πέρσαι μεμνημένοι τῶν πρότερον, οἱ Νάξιοι πρὸς τὰ οὔρεα οἴχοντο



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

φεύγοντες, οὐδὲ ὑπέμειναν. Οἱ δὲ Πέρσαι ἀνδραποδισάμενοι τοὺς κατέλαβον αὐτέων, ἐνέπρησαν καὶ τὰ ἱρὰ καὶ τὴν πόλιν· ταῦτα δὲ ποιήσαντες, ἐπὶ τὰς ἄλλας νήσους ἀνάγοντο. Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐποίευν, οἱ Δήλιοι, ἐκλιπόντες καὶ αὐτοὶ τὴν Δῆλον, οἴχοντο φεύγοντες ἐς Τῆνον. Τῆς δὲ στρατιῆς καταπλεούσης, ὁ Δᾶτις προπλώσας, οὐκ ἔα τὰς νέας πρὸς τὴν νῆσον προσορμίζεσθαι, ἀλλὰ πέρην ἐν τῇ Ῥηνέῃ· αὐτὸς δὲ πυθόμενος ἵνα ἔσαν οἱ Δήλιοι, πέμπων κήρυκα, ἠγόρευέ σφι τάδε· « Ἄνδρες ἱροὶ, τί φεύγοντες οἴχεσθε, οὐκ ἐπιτήδεα » καταγνόντες κατ' ἐμεῦ; ἐγὼ γὰρ καὶ αὐτὸς ἔτι τοιαῦτα φρονέω, » καί μοι ἐκ βασιλῆος ὧδε ἐπέσταλται· ἐν ᾗ χώρῃ οἱ δύο θεοὶ ἐγέ- » νοντο, ταύτην μηδὲν σίνεσθαι, μήτε αὐτὴν τὴν χώρην, μήτε τοὺς » οἰκήτορας αὐτῆς. Νῦν ὦν καὶ ἄπιτε ἐπὶ τὰ ὑμέτερα αὐτέων, καὶ » τὴν νῆσον νέμεσθε. » Ταῦτα μὲν ἐπεκηρυκεύσατο τοῖσι Δηλίοισι· μετὰ δὲ, λιβανωτοῦ τριηκόσια τάλαντα κατανήσας ἐπὶ τοῦ βωμοῦ, ἐθυμίησε. Δᾶτις μὲν δὴ ταῦτα ποιήσας, ἔπλεε ἅμα τῷ στρατῷ ἐπὶ τὴν Ἐρέτριαν πρῶτα, ἅμα ἀγόμενος καὶ Ἴωνας καὶ Αἰολέας. Μετὰ δὲ τοῦτον ἐνθεῦτεν ἐξαναχθέντα, Δῆλος ἐκινήθη, ὡς ἔλεγον οἱ Δήλιοι, καὶ πρῶτα καὶ ὕστατα μέχρι ἐμεῦ σεισθεῖσα. Καὶ τοῦτο μέν κου τέρας ἀνθρώποισι τῶν μελλόντων ἔσεσθαι κακῶν ἔφηνε ὁ θεός· ἐπὶ γὰρ Δαρείου τοῦ Ὑστάσπεος, καὶ Ξέρξεω τοῦ Δαρείου, καὶ Ἀρτοξέρξεω τοῦ Ξέρξεω, τριῶν τουτέων ἐπεξῆς γενεέων, ἐγένετο πλέω κακὰ τῇ Ἑλλάδι ἢ ἐπὶ εἴκοσι ἄλλας γενεὰς τὰς πρὸ Δαρείου γενομένας· τὰ μὲν, ἀπὸ τῶν Περσέων αὐτῇ γενόμενα, τὰ δὲ, ἀπ' αὐτέων τῶν κορυφαίων περὶ τῆς ἀρχῆς πολεμεόντων. Οὕτω οὐδὲν ἦν ἀεικὲς κινηθῆναι Δῆλον, τοπρὶν ἐοῦσαν ἀκίνητον· καὶ ἐν χρησμῷ ἦν γεγραμμένον περὶ αὐτῆς ὧδε,

Κινήσω καὶ Δῆλον, ἀκίνητόν περ ἐοῦσαν.

[Δύναται δὲ κατὰ Ἑλλάδα γλῶσσαν ταῦτα τὰ οὐνόματα, Δαρεῖος, ἐρξείης· Ξέρξης, ἀρήϊος· Ἀρτοξέρξης, μέγας ἀρήϊος. Τούτους μὲν δὴ τοὺς βασιλῆας ὧδε ἂν ὀρθῶς κατὰ γλῶσσαν τὴν σφετέρην Ἕλληνες καλέοιεν.] Οἱ δὲ βάρβαροι ὡς ἀπῆραν ἐκ τῆς Δήλου, προσίσχον πρὸς τὰς νήσους· ἐνθεῦτεν δὲ στρατιήν τε παρελάμβανον, καὶ ὁμήρους τῶν νησιωτέων παῖδας ἐλάμβανον. Ὡς δὲ περιπλέοντες τὰς νήσους, προσέσχον καὶ ἐς Κάρυστον, οὐ γὰρ δή σφι οἱ Καρύστιοι οὔτε ὁμήρους ἐδίδοσαν, οὔτε ἔφασαν ἐπὶ πόλις ἀστυγείτονας στρατεύεσθαι, λέγοντες Ἐρέτριάν τε καὶ Ἀθήνας, ἐνθαῦτα τούτους ἐπολιόρκεόν τε καὶ τὴν γῆν σφέων ἔκειρον, ἐς ὃ καὶ οἱ Καρύστιοι παρέστησαν ἐς τῶν Περσέων τὴν γνώμην. Ἐρετριέες δὲ, πυνθανόμενοι τὴν στρατιὴν τὴν Περσικὴν ἐπὶ σφέας ἐπιπλέουσαν, Ἀθηναίων ἐδεήθησαν σφίσι βοηθοὺς γενέσθαι· Ἀθηναῖοι δὲ οὐκ ἀπείπαντο τὴν ἐπικουρίην, ἀλλὰ τοὺς τετρακισχιλίους κληρουχέοντας τῶν ἱπποβοτέων Χαλκιδέων τὴν χώρην, τούτους

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

σφι διδοῦσι τιμωρούς. Τῶν δὲ Ἐρετριέων ἦν ἄρα οὐδὲν ὑγιὲς βούλευμα· οἳ μετεπέμποντο μὲν Ἀθηναίους, ἐφρόνεον δὲ διφασίας ἰδέας. Οἱ μὲν γὰρ αὐτέων ἐβουλεύοντο ἐκλιπεῖν τὴν πόλιν ἐς τὰ ἄκρα τῆς Εὐβοίης· ἄλλοι δὲ αὐτέων, ἴδια κέρδεα προσδεκόμενοι παρὰ τοῦ Πέρσεω οἴσεσθαι, προδοσίην ἐσκευάζοντο. Μαθὼν δὲ τουτέων ἑκάτερα ὡς εἶχε Αἰσχίνης ὁ Νόθωνος, ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα, φράζει τοῖσι ἥκουσι τῶν Ἀθηναίων πάντα τὰ παρεόντα σφι πρήγματα· προσεδέετό τε ἀπαλλάσσεσθαί σφεας ἐς τὴν σφετέρην, ἵνα μὴ προσαπόλωνται. Οἱ δὲ Ἀθηναῖοι ταῦτα Αἰσχίνῃ συμβουλεύσαντι πείθονται· καὶ οὗτοι μὲν διαβάντες ἐς Ὠρωπὸν, ἔσωζον σφέας αὐτούς. Οἱ δὲ Πέρσαι πλέοντες κατέσχον τὰς νέας τῆς Ἐρετρικῆς χώρης, κατὰ Ταμύνας, καὶ Χοιρέας, καὶ Αἰγίλια· κατασχόντες δὲ ἐς ταῦτα τὰ χωρία, αὐτίκα ἵππους τε ἐξεβάλλοντο, καὶ παρεσκευάζοντο ὡς προσοισόμενοι τοῖσι ἐχθροῖσι. Οἱ δὲ Ἐρετριέες ἐπεξελθεῖν μὲν καὶ μάχεσθαι οὐκ ἐποιεῦντο βουλὴν, εἴ κως δὲ διαφυλάξαιεν τὰ τείχεα, τούτου σφι ἔμελε πέρι, ἐπεί τε ἐνίκα μὴ ἐκλιπεῖν τὴν πόλιν. Προσβολῆς δὲ γενομένης καρτερῆς πρὸς τὸ τεῖχος, ἔπιπτον ἐπὶ ἓξ ἡμέρας πολλοὶ μὲν ἀμφοτέρων· τῇ δὲ ἑβδόμῃ Εὔφορβός τε ὁ Ἀλκιμάχου, καὶ Φίλαγρος ὁ Κυνέου, ἄνδρες τῶν ἀστῶν δόκιμοι, προδιδοῦσι τοῖσι Πέρσῃσι. Οἱ δὲ, ἐσελθόντες ἐς τὴν πόλιν, τοῦτο μὲν, τὰ ἱρὰ συλήσαντες ἐνέπρησαν, ἀποτιννύμενοι τῶν ἐν Σάρδισι κατακαυθέντων ἱρῶν· τοῦτο δὲ, τοὺς ἀνθρώπους ἠνδραποδίσαντο, κατὰ τὰς Δαρείου ἐντολάς. Χειρωσάμενοι δὲ τὴν Ἐρέτριαν, καὶ ἐπισχόντες ὀλίγας ἡμέρας, ἔπλεον ἐς τὴν Ἀττικὴν κατέργοντές τε πολλὸν καὶ δοκέοντες ταὐτὰ τοὺς Ἀθηναίους ποιήσειν τὰ καὶ τοὺς Ἐρετριέας ἐποίησαν. Καὶ, ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδεώτατον χωρίον τῆς Ἀττικῆς ἐνιππεῦσαι, καὶ ἀγχοτάτω τῆς Ἐρετρίης, ἐς τοῦτό σφι κατηγέετο Ἱππίης ὁ Πεισιστράτεω. Ἀθηναῖοι δὲ ὡς ἐπύθοντο ταῦτα, ἐβοήθεον καὶ αὐτοὶ ἐς τὸν Μαραθῶνα. Ἦγον δὲ σφέας στρατηγοὶ δέκα· τῶν ὁ δέκατος ἦν Μιλτιάδης, τοῦ τὸν πατέρα Κίμωνα τὸν Στησαγόρεω κατέλαβε φυγεῖν ἐξ Ἀθηναίων Πεισίστρατον τὸν Ἱπποκράτεος. Καὶ αὐτῷ φεύγοντι, ὀλυμπιάδα ἀνελέσθαι τεθρίππῳ συνέβη· καὶ ταύτην μὲν τὴν νίκην ἀνελόμενόν μιν, τὠυτὸ ἐξενείκασθαι τῷ ὁμομητρίῳ ἀδελφεῷ Μιλτιάδῃ. Μετὰ δὲ, τῇ ὑστέρῃ ὀλυμπιάδι τῇσι αὐτῇσι ἵπποισι νικῶν, παραδιδοῖ Πεισιστράτῳ ἀνακηρυχθῆναι· καὶ τὴν νίκην παρεὶς τούτῳ, κατῆλθε ἐπὶ τὰ ἑωϋτοῦ ὑπόσπονδος. Καί μιν ἀνελόμενον τῇσι αὐτῇσι ἵπποισι ἄλλην ὀλυμπιάδα, κατέλαβε ἀποθανεῖν ὑπὸ τῶν Πεισιστράτου παίδων, οὐκέτι περιεόντος αὐτοῦ Πεισιστράτου· κτείνουσι δὲ οὗτοί μιν κατὰ τὸ πρυτανήϊον, νυκτὸς ὑπείσαντες ἄνδρας. Τέθαπται δὲ Κίμων πρὸ τοῦ ἄστεος, πέρην τῆς διὰ Κοίλης καλεομένης ὁδοῦ· καταντίον δ' αὐτοῦ αἱ ἵπποι τεθάφαται αὗται αἱ τρεῖς ὀλυμπιάδας



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἀνελόμεναι. Ἐποίησαν δὲ καὶ ἄλλαι ἵπποι ἤδη τὠυτὸ τοῦτο Εὐαγόρεω Λάκωνος· πλέω δὲ τουτέων, οὐδαμαί. Ὁ μὲν δὴ πρεσβύτερος τῶν παίδων τῷ Κίμωνι Στησαγόρης ἦν τηνικαῦτα παρὰ τῷ πάτρῳ Μιλτιάδῃ τρεφόμενος ἐν τῇ Χερσονήσῳ· ὁ δὲ νεώτερος παρ' αὐτῷ Κίμωνι ἐν Ἀθήνῃσι, τοὔνομα ἔχων ἀπὸ τοῦ οἰκιστέω τῆς Χερσονήσου Μιλτιάδεω, Μιλτιάδης. Οὗτος δὴ ὦν τότε ὁ Μιλτιάδης ἥκων ἐκ τῆς Χερσονήσου, καὶ ἐκπεφευγὼς διπλόον θάνατον, ἐςρατήγεε Ἀθηναίων. Ἅμα μὲν γὰρ, οἱ Φοίνικες αὐτὸν οἱ ἐπιδιώξαντες μέχρι Ἴμβρου, περὶ πολλοῦ ἐποιεῦντο λαβεῖν τε καὶ ἐναγαγεῖν παρὰ βασιλῆα· ἅμα δὲ, ἐκφυγόντα τε τουτους, καὶ ἀπικόμενον ἐς τὴν ἑωϋτοῦ, δοκέοντά τε εἶναι ἐν σωτηρίῃ, ἤδη τοενθεῦντέν μιν οἱ ἐχθροὶ ὑποδεξάμενοι, καὶ ὑπὸ δικαστήριον αὐτὸν ἀγαγόντες, ἐδίωξαν τυραννίδος τῆς ἐν Χερσονήσῳ. Ἀποφυγὼν δὲ καὶ τούτους, στρατηγὸς οὕτω Ἀθηναίων ἀπεδέχθη, αἱρεθεὶς ὑπὸ τοῦ δήμου. Καὶ πρῶτα μὲν, ἐόντες ἔτι ἐν τῷ ἄστεϊ οἱ στρατηγοὶ, ἀποπέμπουσι ἐς Σπάρτην κήρυκα Φειδιππίδην, Ἀθηναῖον μὲν ἄνδρα, ἄλλως δὲ ἡμεροδρόμον τε καὶ τοῦτο μελετῶντα. Τῷ δὴ, ὡς αὐτός τε ἔλεγε Φειδιππίδης, καὶ Ἀθηναίοισι ἀπήγγελλε, περὶ τὸ Παρθένιον οὖρος τὸ ὑπὲρ Τεγέης ὁ Πὰν περιπίπτει. Βώσαντα δὲ τοὔνομα τοῦ Φειδιππίδεω τὸν Πᾶνα, Ἀθηναίοισι κελεῦσαι ἀπαγγεῖλαι, διότι ἑωϋτοῦ οὐδεμίην ἐπιμέλειαν ποιεῦνται, ἐόντος εὔνου Ἀθηναίοισι, καὶ πολλαχῆ γενομένου ἤδη σφι χρησίμου, τὰ δ' ἔτι καὶ ἐσομένου. Καὶ ταῦτα μὲν Ἀθηναῖοι, καταςάντων σφίσι εὖ ἤδη τῶν πρηγμάτων, πιστεύσαντες εἶναι ἀληθέα, ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι Πανὸς ἱρὸν, καὶ αὐτὸν ἀπὸ ταύτης τῆς ἀγγελίης θυσίῃσι ἐπετείῃσι καὶ λαμπάδι ἱλάσκονται. Τότε δὲ πεμφθεὶς ὑπὸ τῶν στρατηγῶν ὁ Φειδιππίδης οὗτος, ὅτεπερ οἱ ἔφη καὶ τὸν Πᾶνα φανῆναι, δευτεραῖος ἐκ τοῦ Ἀθηναιων ἄστεος ἦν ἐν Σπάρτῃ. Ἀπικόμενος δὲ ἐπὶ τοὺς ἄρχοντας ἔλεγε· « Ὦ Λακεδαιμόνιοι, Ἀθηναῖοι ὑμέων δέ-
» ονταί σφισι βοηθῆσαι, καὶ μὴ περιϊδεῖν πόλιν ἀρχαιοτάτην ἐν τοῖσι
» Ἕλλησι δουλοσύνῃ περιπεσοῦσαν πρὸς ἀνδρῶν βαρβάρων· καὶ γὰρ
» Ἐρέτριά τε νῦν ἠνδραπόδισται, καὶ πόλι λογίμῳ ἡ Ἑλλὰς γέγονε
» ἀσθενεστέρη. » Ὁ μὲν δή σφι τὰ ἐντεταλμένα ἀπήγγελλε· τοῖσι δὲ ἕαδε μὲν βοηθέειν Ἀθηναίοισι, ἀδύνατα δέ σφι ἦν τοπαραυτίκα ποιέειν ταῦτα, οὐ βουλομένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱσταμένου τοῦ μηνὸς εἰνάτη· εἰνάτῃ δὲ οὐκ ἐξελεύσεσθαι ἔφασαν, μὴ οὐ πλήρεος ἐόντος τοῦ κύκλου. Οὗτοι μέν νυν τὴν πανσέληνον ἔμενον. Τοῖσι δὲ βαρβάροισι κατηγέετο Ἱππίης ὁ Πεισιστράτου ἐς τὸν Μαραθῶνα, τῆς παροιχομένης νυκτὸς ὄψιν ἰδὼν ἐν τῷ ὕπνῳ τοιήνδε. Ἐδόκεε ὁ Ἱππίης τῇ μητρὶ τῇ ἑωϋτοῦ συνευνηθῆναι· συνεβάλετο ὦν ἐκ τοῦ ὀνείρου, κατελθὼν ἐς τὰς Ἀθήνας καὶ ἀνασωσάμενος τὴν ἀρχὴν, τελευτήσειν ἐν τῇ ἑωϋτοῦ γηραιός. Ἐκ μὲν δὴ τῆς ὄψιος συνεβά-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

λετο ταῦτα. Τότε δὲ κατηγεόμενος, τοῦτο μὲν, τὰ ἀνδράποδα τὰ ἐξ Ἐρετρίης ἀπέβησε ἐς τὴν νῆσον τὴν Στυρέων, καλεομένην δὲ Αἰγίλειαν· τοῦτο δὲ, καταγομένας ἐς τὸν Μαραθῶνα τὰς νέας ὅρμιζε οὗτος· ἐκβάντας δὲ ἐς τὴν γῆν τοὺς βαρβάρους διέτασσε. Καί οἱ ταῦτα διέποντι ἐπῆλθε πταρεῖν τε καὶ βῆξαι μεζόνως ἢ ὡς ἐώθεε· οἷα δέ οἱ πρεσβυτέρῳ ἐόντι, τῶν ὀδόντων οἱ πλεῦνες ἐσείοντο. Τουτέων ὦν ἕνα τῶν ὀδόντων ἐκβάλλει ὑπὸ βίης βήξας· ἐκπεσόντος δὲ ἐς τὴν ψάμμον αὐτοῦ, ἐποιέετο πολλὴν σπουδὴν ἐξευρεῖν. Ὡς δὲ οὐκ ἐφαίνετό οἱ ὁ ὀδὼν, ἀναστενάξας εἶπε πρὸς τοὺς παρεστεῶτας· « Ἡ
» γῆ ἥδε οὐκ ἡμετέρη ἐστὶ, οὐδέ μιν δυνησόμεθα ὑποχειρίειν ποιή-
» σασθαι· ὁκόσον δέ τί μοι μέρος μετῆν, ὁ ὀδὼν μετέχει. » Ἱππίης μὲν δὴ ταύτῃ τὴν ὄψιν συνεβάλετο ἐξεληλυθέναι. Ἀθηναίοισι δὲ τεταγμένοισι ἐν τεμένεϊ Ἡρακλέος ἐπῆλθον βοηθέοντες Πλαταιέες πανδημεί· καὶ γὰρ καὶ ἐδεδώκεσαν σφέας αὐτοὺς τοῖσι Ἀθηναίοισι οἱ Πλαταιέες, καὶ πόνους ὑπὲρ αὐτέων οἱ Ἀθηναῖοι συχνοὺς ἤδη ἀναιρέατο. Ἔδοσαν δὲ ὧδε· πιεζεύμενοι ὑπὸ Θηβαίων οἱ Πλαταιέες, ἐδίδοσαν πρῶτα παρατυχοῦσι Κλεομένεΐ τε τῷ Ἀναξανδρίδεω καὶ Λακεδαιμονίοισι σφέας αὐτούς. Οἱ δὲ, οὐ δεκόμενοι, ἔλεγόν σφι τάδε· « Ἡμεῖς μὲν ἑκαστέρω τε οἰκέομεν, καὶ ὑμῖν τοιήδε τις γίνοιτ'
» ἂν ἐπικουρίη ψυχρή· φθαίητε γὰρ ἂν πολλάκις ἐξανδραποδισθέντες
» ἤ τινα πυθέσθαι ἡμέων. Συμβουλεύομεν δὲ ὑμῖν δοῦναι ὑμέας αὐ-
» τοὺς Ἀθηναίοισι, πλησιοχώροισί τε ἀνδράσι, καὶ τιμωρέειν ἐοῦσι
» οὐ κακοῖσι. » Ταῦτα συνεβούλευον οἱ Λακεδαιμόνιοι, οὐ κατὰ εὐνοίην οὕτω τῶν Πλαταιέων, ὡς βουλόμενοι τοὺς Ἀθηναίους ἔχειν πόνους, συνεστεῶτας Βοιωτοῖσι. Λακεδαιμόνιοι μέν νυν Πλαταιεῦσι ταῦτα συνεβούλευον· οἱ δὲ οὐκ ἠπίστησαν, ἀλλ' Ἀθηναίων ἱρὰ ποιεύντων τοῖσι δώδεκα θεοῖσι, ἱκέται ἱζόμενοι ἐπὶ τὸν βωμὸν, ἐδίδοσαν σφέας αὐτούς. Θηβαῖοι δὲ πυθόμενοι ταῦτα, ἐστρατεύοντο ἐπὶ τοὺς Πλαταιέας· Ἀθηναῖοι δέ σφι ἐβοήθεον. Μελλόντων δὲ συνάπτειν μάχην, Κορίνθιοι οὐ περιεῖδον· παρατυχόντες δὲ, καὶ καταλλάξαντες, ἐπιτρεψάντων ἀμφοτέρων, οὔρισαν τὴν χώραν ἐπὶ τοῖσδε· ἐᾶν Θηβαίους Βοιωτῶν τοὺς μὴ βουλομένους ἐς Βοιωτοὺς τελέειν. Κορίνθιοι μὲν δὴ ταῦτα γνόντες ἀπαλλάσσοντο. Ἀθηναίοισι δὲ ἀπιοῦσι ἐπεθήκαντο Βοιωτοί· ἐπιθέμενοι δὲ, ἑσσώθησαν τῇ μάχῃ. Ὑπερβάντες δὲ οἱ Ἀθηναῖοι τοὺς οἱ Κορίνθιοι ἔθηκαν Πλαταιεῦσι εἶναι οὔρους, τούτους ὑπερβάντες, τὸν Ἀσωπὸν αὐτὸν ἐποιήσαντο οὖρον Θηβαίοισι πρὸς Πλαταιέας εἶναι καὶ Ὑσιάς. Ἔδοσαν μὲν δὴ οἱ Πλαταιέες σφέας αὐτοὺς Ἀθηναίοισι τρόπῳ τῷ εἰρημένῳ· ἧκον δὲ τότε ἐς Μαραθῶνα βοηθέοντες. Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ γνῶμαι· τῶν μὲν, οὐκ ἐώντων συμβαλέειν· ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν· τῶν δὲ, καὶ Μιλτιάδεω, κελευόντων. Ὡς δὲ δίχα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τε ἐγίνοντο, καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ ἐνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθηναίων πολεμαρχέειν· τοπαλαιὸν γὰρ Ἀθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι ϛρατηγοῖσι· ἦν δὲ τότε πολέμαρχος Καλλίμαχος Ἀφιδναῖος· πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης, ἔλεγε τάδε· « Ἐν σοὶ νῦν, Καλλίμαχε, ἔϛι
» ἢ καταδουλῶσαι Ἀθήνας, ἢ ἐλευθέρας ποιήσαντα, μνημόσυνα λι-
» πέσθαι ἐς τον ἅπαντα ἀνθρώπων βίον, οἷα οὐδὲ Ἁρμόδιός τε καὶ
» Ἀριϛογείτων λείπουσι. Νῦν γὰρ δὴ, ἐξ οὗ ἐγένοντο Ἀθηναῖοι, ἐς
» κίνδυνον ἥκουσι μέγιστον. Καὶ ἢν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι,
» δέδοκται τὰ πείσονται παραδεδομένοι Ἱππίῃ· ἢν δε περιγένηται
» αὕτη ἡ πόλις, οἵη τέ ἐϛι πρώτη τῶν Ἑλληνίδων πολίων γενέσθαι.
» Κῶς ὦν δὴ ταῦτα οἷά τέ ἐϛι γενέσθαι, καὶ κῶς ἐς σέ τι τουτέων
» ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. Ἡμέ-
» ων τῶν ϛρατηγῶν ἐόντων δέκα, δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν,
» κελευόντων συμβαλέειν, τῶν δὲ, οὐ συμβαλέειν. Ἢν μέν νυν μὴ
» συμβάλωμεν, ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασεί-
» σειν τὰ Ἀθηναίων φρονήματα, ὥϛε μηδίσαι· ἢν δὲ συμβάλωμεν,
» πρίν τι καὶ σαθρὸν Ἀθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ
» ἴσα νεμόντων, οἱοί τέ εἶμεν περιγενέσθαι τῇ συμβολῇ. Ταῦτα ὦν
» πάντα ἐς σὲ νῦν τείνει, καὶ ἐκ σέο ἄρτηται· ἢν γὰρ σὺ γνώμῃ τῇ
» ἐμῇ προσθῇ, ἔϛι τοι πατρίς τε ἐλευθέρη, καὶ πόλις πρώτη τῶν
» ἐν τῇ Ἑλλάδι· ἢν δὲ τῶν ἀποσπευδόντων τὴν συμβουλὴν ἕλῃ,
» ὑπάρξει τοι τῶν ἐγὼ κατέλεξα ἀγαθῶν τὰ ἐναντία. » Ταῦτα λέγων ὁ Μιλτιάδης, προσκτᾶται τὸν Καλλίμαχον. Προσγενομένης δε τοῦ πολεμάρχου τῆς γνώμης, ἐκεκύρωτο συμβάλλειν. Μετὰ δὲ, οἱ ϛρατηγοὶ, τῶν ἡ γνώμη ἔφερε συμβάλλειν, ὡς ἑκάστου αὐτέων ἐγίνετο πρυτανηΐη τῆς ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ δεκόμενος, οὔτι κω συμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυτανηΐη ἐγένετο. Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε Ἀθηναῖοι ὡς συμβαλέοντες. Τοῦ μὲν δεξιοῦ κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος· ὁ γὰρ νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν. Ἡγεομένου δὲ τούτου, ἐξεδέκοντο ὡς ἀριθμέοντο αἱ φυλαὶ, ἐχόμεναι ἀλληλέων· τελευταῖοι δὲ ἐτάσσοντο, ἔχοντες τὸ εὐώνυμον κέρας, Πλαταιέες. Ἀπὸ ταύτης γάρ σφι τῆς μάχης, θυσίας Ἀθηναίων ἀναγόντων καὶ Πανηγύρια τὰς ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κήρυξ ὁ Ἀθηναῖος, ἅμα τε Ἀθηναίοισι λέγων γίγνεσθαι ἀγαθὰ καὶ Πλαταιεῦσι. Τότε δὴ τασσομένων τῶν Ἀθηναίων ἐν τῷ Μαραθῶνι, ἐγίνετο τοιόνδε τι. Τὸ στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ, τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξιας ὀλίγας, καὶ ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον· τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο πλήθεϊ. Ὡς δέ σφι διετέτακτο,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

καὶ τὰ σφάγια ἐγίνετο καλὰ, ἐνθαῦτα ὡς ἀπείθησαν οἱ Ἀθηναῖοι, δρόμῳ ἵεντο ἐς τοὺς βαρβάρους. Ἦσαν δὲ ςάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτέων, ἢ ὀκτώ. Οἱ δὲ Πέρσαι, ὁρέωντες δρόμῳ ἐπιόντας, παρεσκευάζοντο ὡς δεξόμενοι· μανίην τε τοῖσι Ἀθηναίοισι ἐπέφερον, καὶ πάγχυ ὀλεθρίην, ὁρέωντες αὐτοὺς ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους, οὔτε ἵππου ὑπαρχούσης σφι, οὔτε τοξευμάτων. Ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον. Ἀθηναῖοι δὲ, ἐπεί τε ἀθρόοι προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. Πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων τῶν ἡμεῖς ἴδμεν, δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέωντες, καὶ τοὺς ἄνδρας ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι. Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι, χρόνος ἐγίνετο πολλός· καὶ τὸ μὲν μέσον τοῦ ςρατοπέδου ἐνίκων οἱ βάρβαροι, τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἐτετάχατο. Κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες, ἐδίωκον ἐς τὴν μεσόγαιαν· τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιέες. Νικῶντες δὲ, τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἔων· τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτέων, συναγαγόντες τὰ κέρεα ἀμφότερα, ἐμάχοντο, καὶ ἐνίκων Ἀθηναῖοι. Φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὃ ἐπὶ θάλασσαν ἀπικόμενοι, πῦρ τε αἴτεον, καὶ ἐπελαμβάνοντο τῶν νεῶν. Καὶ τοῦτο μὲν, ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· ἀπὸ δ' ἔθανε τῶν ςρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ, Κυνέγειρος ὁ Εὐφορίωνος, ἐνθαῦτα ἐπιλαβόμενος τῶν ἀφλάςων νηὸς, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ, πίπτει· τοῦτο δὲ, ἄλλοι Ἀθηναίων πολλοί τε καὶ ὀνομαστοί. Ἑπτὰ μὲν δὴ τῶν νεῶν ἐπεκράτησαν τρόπῳ τοιούτῳ Ἀθηναῖοι. Τῇσι δὲ λοιπῇσι οἱ βάρβαροι ἐξανακρουσάμενοι, καὶ ἀναλαβόντες ἐκ τῆς νήσου, ἐν τῇ ἔλιπον, τὰ ἐξ Ἐρετρίης ἀνδράποδα, περιέπλωον Σούνιον, βουλόμενοι φθῆναι τοὺς Ἀθηναίους ἀπικόμενοι ἐς τὸ ἄςυ. Αἰτίη δὲ ἔσχε ἐν Ἀθηναίοισι ἐξ Ἀλκμαιωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινοηθῆναι· τούτους γὰρ συνθεμένους τοῖσι Πέρσῃσι ἀναδέξαι ἀσπίδα, ἐοῦσι ἤδη ἐν τῇσι νηυσί. Οὗτοι μὲν δὴ περιέπλωον Σούνιον. Ἀθηναῖοι δὲ, ὡς ποδῶν εἶχον, τάχιςα ἐβοήθεον ἐς τὸ ἄςυ· καὶ ἔφθησάν τε ἀπικόμενοι, πρὶν ἢ τοὺς βαρβάρους ἥκειν, καὶ ἐςρατοπεδεύσαντο ἀπιγμένοι ἐξ Ἡρακληΐου τοῦ ἐν Μαραθῶνι ἐν ἄλλῳ Ἡρακληΐῳ τῷ ἐν Κυνοσάργεϊ. Οἱ δὲ βάρβαροι τῇσι νηυσὶ ὑπεραιωρηθέντες Φαλήρου, τοῦτο γὰρ ἦν ἐπίνειον τότε τῶν Ἀθηναίων, ὑπὲρ τούτου ἀνακωχεύσαντες τὰς νῆας, ἀπέπλωον ὀπίσω ἐς τὴν Ἀσίην. Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας· Ἀθηναίων δὲ, ἑκατὸν ἐννενήκοντα καὶ δύο. Ἔπεσον μὲν ἀμφοτέρων τοσοῦτοι· συνήνεικε δὲ αὐτόθι θῶμα τοιόνδε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

γενέσθαι. Ἀθηναῖον ἄνδρα Ἐπίζηλον τὸν Κουφαγόρεω ἐν τῇ συςάσει μαχόμενόν τε καὶ ἄνδρα γινόμενον ἀγαθὸν, τῶν ὀμμάτων ςερηθῆναι, οὔτε πληγέντα οὐδὲν τοῦ σώματος, οὔτε βληθέντα· καὶ τὸ λοιπὸν τῆς ζόης διατελέειν ἀπὸ τούτου τοῦ χρόνου ἐόντα τυφλόν. Λέγειν δὲ αὐτὸν ἤκουσα περὶ τοῦ πάθεος τοιόνδε τινὰ λόγον. Ἄνδρα οἱ δοκέειν ὁπλίτην ἀντιςῆναι μέγαν, τοῦ τὸ γένειον τὴν ἀσπίδα πᾶσαν σκιάζειν· τὸ δὲ φάσμα τοῦτο ἑωϋτὸν μὲν παρεξελθεῖν, τὸν δὲ ἑωϋτοῦ παραστάτην ἀποκτεῖναι. Ταῦτα μὲν δὴ Ἐπίζηλον ἐπυθόμην λέγειν. Δᾶτις δὲ πορευόμενος ἅμα τῷ ςρατῷ ἐς τὴν Ἀσίην, ἐπεί τε ἐγένετο ἐν Μυκόνῳ, εἶδε ὄψιν ἐν τῷ ὕπνῳ· καὶ ἥτις μὲν ἦν ὄψις, οὐ λέγεται· ὁ δὲ, ὡς ἡμέρη τάχιςα ἐπέλαμψε, ζήτησιν ἐποιέετο τῶν νεῶν. Εὑρὼν δὲ ἐν Φοινίσσῃ νηῒ ἄγαλμα Ἀπόλλωνος κεχρυσωμένον, ἐπυνθάνετο ὁκόθεν σεσυλημένον εἴη· πυθόμενος δὲ ἐξ οὗ ἦν ἱροῦ, ἔπλεε τῇ ἑωϋτοῦ νηῒ ἐς Δῆλον· Καὶ, ἀπίκατο γὰρ τηνικαῦτα οἱ Δήλιοι ὀπίσω ἐς τὴν νῆσον, κατατίθεταί τε ἐς τὸ ἱρὸν τὸ ἄγαλμα, καὶ ἐντέλλεται τοῖσι Δηλοίοισι ἀπαγαγεῖν τὸ ἄγαλμα ἐς Δήλιον τὸ Θηβαίων· τὸ δ' ἔςι ἐπὶ θαλάσσῃ, Χαλκίδος καταντίον. Δᾶτις μὲν δὴ ταῦτα ἐντειλάμενος ἀπέπλεε. Τὸν δὲ ἀνδριάντα τοῦτον Δήλιοι οὐκ ἀπήγαγον, ἀλλά μιν δι' ἐτέων εἴκοσι Θηβαῖοι αὐτοὶ ἐκ θεοπροπίου ἐκομίσαντο ἐπὶ Δήλιον. Τοὺς δὲ τῶν Ἐρετριέων ἀνδραποδισμένους Δᾶτίς τε καὶ Ἀρταφέρνης, ὡς προσέσχον ἐς τὴν Ἀσίην πλέοντες, ἀνήγαγον ἐς Σοῦσα· βασιλεὺς δὲ Δαρεῖος, πρὶν μὲν αἰχμαλώτους γενέσθαι τοὺς Ἐρετριέας, ἐνεῖχέ σφι δεινὸν χόλον, οἷα ἀρξάντων ἀδικίης προτέρων τῶν Ἐρετριέων· ἐπεί τε δὲ εἶδέ σφεας ἀπαχθέντας παρ' ἑωϋτὸν, καὶ ὑποχειρίους ἑωϋτῷ ἐόντας, ἐποίησε κακὸν ἄλλο οὐδὲν, ἀλλά σφεας τῆς Κισσίας χώρης κατοίκισε ἐν ςαθμῷ ἑωϋτοῦ, τῷ οὔνομά ἐςι Ἀρδέρικα, ἀπὸ μὲν Σούσων δέκα καὶ διηκοσίους ςαδίους ἀπέχοντι, τεσσεράκοντα δὲ ἀπὸ τοῦ φρέατος, τὸ παρέχεται τριφασίας ἰδέας. Καὶ γὰρ ἄσφαλτον καὶ ἅλας καὶ ἔλαιον ἀρύονται ἐξ αὐτοῦ τρόπῳ τοιῷδε. Ἀντλέεται μὲν κηλονηΐῳ, ἀντὶ δὲ γαυλοῦ ἥμισυ ἀσκοῦ οἱ προσδέδεται· ὑποτύψας δὲ τούτῳ, ἀντλέει, καὶ ἔπειτα ἐγχέει ἐς δεξαμενήν· ἐκ δὲ ταύτης ἐς ἄλλο διαχεόμενον, τρέπεται τριφασίας ὁδούς. Καὶ ἡ μὲν ἄσφαλτος, καὶ οἱ ἅλες πήγνυνται παραυτίκα, τὸ δὲ ἔλαιον συνάγουσι ἐν ἀγγείοις, τὸ οἱ Πέρσαι καλέουσι ῥαδινάκην· ἔςι δὲ μέλαν, καὶ ὀδμὴν παρεχόμενον βαρέαν. Ἐνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεὺς Δαρεῖος, οἳ καὶ μέχρι ἐμέο εἶχον τὴν χώρην ταύτην, φυλάσσοντες τὴν ἀρχαίην γλῶσσαν. Τὰ μὲν δὴ περὶ Ἐρετριέας ἔσχε οὕτω. Λακεδαιμονίων δὲ ἧκον ἐς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, ἔχοντες σπουδὴν πολλὴν καταλαβεῖν οὕτω, ὥςε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο ἐν τῇ Ἀττικῇ. Ὕςεροι δὲ ἀπικόμενοι τῆς συμβολῆς, ἱμείροντο ὅμως θεήσασθαι

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τοὺς Μήδους· ἐλθόντες δὲ ἐς τὸν Μαραθῶνα, ἐθεήσαντο. Μετὰ δὲ αἰνέσαντες Ἀθηναίους καὶ τὸ ἔργον αὐτέων, ἀπαλλάσσοντο ὀπίσω.

ΘΩΫΜΑ δέ μοι, καὶ οὐκ ἐνδέκομαι τὸν λόγον, Ἀλκμαιωνίδας ἄν κοτε ἀναδέξαι Πέρσῃσι ἐκ συνθήματος ἀσπίδα, βουλομένους ὑπὸ βαρβάροισί τε εἶναι Ἀθηναίους καὶ ὑπὸ Ἱππίῃ· οἵτινες μᾶλλον ἢ ὁμοίως Καλλίῃ τῷ Φαινίππου, Ἱππονίκου δὲ πατρὶ, φαίνονται μισοτύραννοι ἐόντες. Καλλίης τε γὰρ μοῦνος Ἀθηναίων ἁπάντων ἐτόλμα, ὅκως Πεισίστρατος ἐκπέσοι ἐκ τῶν Ἀθηνέων, τὰ χρήματα αὐτοῦ κηρυσσόμενα ὑπὸ τοῦ δημοσίου ὠνέεσθαι, καὶ τὰ ἄλλα τὰ ἔχθιστα ἐς αὐτὸν πάντα ἐμηχανᾶτο. [ Καλλίεω δὲ τούτου ἄξιον πολλαχοῦ μνήμην ἐςὶ πάντα τινὰ ἔχειν. Τοῦτο μὲν γὰρ, τὰ προλελεγμένα, ὡς ἀνὴρ ἄκρος ἐλευθερῶν τὴν πατρίδα· τοῦτο δὲ, τὰ ἐν Ὀλυμπίῃ ἐποίησε, ἵππῳ νικήσας· τεθρίππῳ δὲ, δεύτερος γενόμενος. Πύθια δὲ πρότερον ἀνελόμενος, ἐφανερώθη ἐς τοὺς Ἕλληνας πάντας μεγίςῃσι δαπάνῃσι· τοῦτο δὲ, κατὰ τὰς ἑωϋτοῦ θυγατέρας, ἐούσας τρεῖς, οἷός τις ἀνὴρ ἐγένετο. Ἐπειδὴ γὰρ ἐγένοντο γάμου ὡραῖαι, ἔδωκέ σφι δωρεὴν μεγαλοπρεπεςάτην, ἐκείνῃσί τε ἐχαρίσατο· ἐκ γὰρ πάντων τῶν Ἀθηναίων τὸν ἑκάςη ἐθέλοι ἄνδρα ἑωϋτῇ ἐκλέξασθαι, ἔδωκε τούτῳ τῷ ἀνδρί. ] Καὶ οἱ Ἀλκμαιωνίδαι ὁμοίως, ἢ οὐδὲν ἔσσον τούτου ἔσαν μισοτύραννοι. Θῶϋμα ὦν μοι, καὶ οὐ προσίεμαι τὴν διαβολὴν, τούτους γε ἀναδέξαι ἀσπίδα, οἵτινες ἔφευγόν τε τὸν πάντα χρόνον τοὺς τυράννους, ἐκ μηχανῆς τε τῆς τούτων ἐξέλιπον οἱ Πεισιςρατίδαι τὴν τυραννίδα. Καὶ οὕτω τὰς Ἀθήνας οὗτοι ἔσαν οἱ ἐλευθερώσαντες πολλῷ μᾶλλον ἤπερ Ἁρμόδιός τε καὶ Ἀριστογείτων, ὡς ἐγὼ κρίνω. Οἱ μὲν γὰρ ἐξηγρίωσαν τοὺς λοιποὺς Πεισιςρατιδέων Ἵππαρχον ἀποκτείναντες, οὐδέ τι μᾶλλον ἔπαυσαν τοὺς λοιποὺς τυραννεύοντας· Ἀλκμαιωνίδαι δὲ ἐμφανέως ἐλευθέρωσαν, εἰ δὴ οὗτοί γε ἀληθέως ἔσαν οἱ τὴν Πυθίην ἀναπείσαντες προσημαίνειν Λακεδαιμονίοισι ἐλευθεροῦν τὰς Ἀθήνας, ὥς μοι πρότερον δεδήλωται. Ἀλλὰ γὰρ ἴσως τι ἐπιμεμφόμενοι τῶν Ἀθηναίων τῷ δήμῳ προεδίδοσαν τὴν πατρίδα; οὐ μὲν ὦν ἦσάν σφεων ἄλλοι δοκιμώτεροι ἔν γε Ἀθηναίοισι ἄνδρες, οὐδ' οἳ μᾶλλον ἐτετιμέατο. Οὕτω οὐδὲ λόγος αἱρέει ἀναδεχθῆναι ἔκ γε ἂν τούτων ἀσπίδα ἐπὶ τοιούτῳ λόγῳ. Ἀνεδέχθη μὲν γὰρ ἀσπίς· καὶ τοῦτο οὐκ ἔςιν ἄλλως εἰπεῖν· ἐγένετο γάρ· ὃς μέντοι ἦν ὁ ἀναδέξας, οὐκ ἔχω προσωτέρω εἰπεῖν τουτέων.

132. ΜΕΤΑ δὲ τὸ ἐν τῷ Μαραθῶνι τρῶμα γενόμενον, Μιλτιάδης, καὶ πρότερον εὐδοκιμέων παρὰ Ἀθηναίοισι, τότε μᾶλλον αὔξετο. Αἰτήσας δὲ νέας ἑβδομήκοντα, καὶ στρατιήν τε καὶ χρήματα τοὺς Ἀθηναίους, οὐ φράσας σφι ἐπ' ἣν ἐπιστρατεύεται χώρην, ἀλλὰ φὰς αὐτοὺς καταπλουτιεῖν, ἤν οἱ ἕπωνται· ἐπὶ γὰρ χώρην τοιαύτην δή τινα ἄξειν, ὅθεν χρυσὸν εὐπετέως ἄφθονον οἴσονται· λέγων τοι-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

αὗτα, αἴτεε τὰς νέας. Ἀθηναῖοι δὲ τούτοισι ἐπαρθέντες, παρέδοσαν. Παραλαβὼν δὲ ὁ Μιλτιάδης τὴν ςρατιὴν, ἔπλεε ἐπὶ Πάρον, πρόφασιν ἔχων ὡς οἱ Πάριοι ὑπῆρξαν πρότεροι στρατευόμενοι τριήρεϊ ἐς Μαραθῶνα ἅμα τῷ Πέρσῃ. Τοῦτο μὲν δὴ πρόσχημα λόγου ἦν· ἀτάρ τινά καὶ ἔγκοτον εἶχε τοῖσι Παρίοισι διὰ Λυσαγόρεα τὸν Τισίεω, ἐόντα γένος Πάριον, διαβαλόντα μιν πρὸς Ὑδάρνεα τὸν Πέρσην. Ἀπικόμενος δὲ ἐς τὴν ἔπλεε ὁ Μιλτιάδης τῇ ςρατιῇ, ἐπολιόρκεε Παρίους, κατειλημένους ἐντὸς τείχεος· καὶ ἐσπέμπων κήρυκα, αἴτεε ἑκατὸν τάλαντα, φὰς, ἢν μή οἱ δῶσι, οὐκ ἀπαναςήσειν τὴν στρατιὴν, πρὶν ἢ ἐξέλῃ σφέας. Οἱ δὲ Πάριοι ὅκως μέν τι δώσουσι Μιλτιάδῃ ἀργυρίου, οὐδὲν διενοεῦντο· οἱ δὲ ὅκως διαφυλάξουσι τὴν πόλιν, τοῦτο ἐμηχανῶντο· ἄλλα τε ἐπιφραζόμενοι, καὶ τῇ μάλιστα ἔσκε ἑκάστοτε ἐπίμαχον τοῦ τείχεος, τοῦτο ἅμα νυκτὶ ἐξήρετο διπλήσιον τοῦ ἀρχαίου. Ἐς μὲν δὴ τοσοῦτο τοῦ λόγου οἱ πάντες Ἕλληνες λέγουσι· τὸ ἐνθεῦτεν δὲ αὐτοὶ Πάριοι γενέσθαι ὧδε λέγουσι. Μιλτιάδῃ ἀπορέοντι ἐλθεῖν ἐς λόγους αἰχμάλωτον γυναῖκα, ἐοῦσαν μὲν Παρίην γένος, οὔνομα δέ οἱ εἶναι Τιμοῦν· εἶναι δὲ ὑποζάκορον τῶν χθονίων θεῶν. Ταύτην δὲ ἐλθοῦσαν ἐς ὄψιν Μιλτιάδεω, συμβουλεῦσαί οἱ, εἰ περὶ πολλοῦ ποιέεται Πάρον ἑλεῖν, τὰ ἂν αὐτὴ ὑποθῆται, ταῦτα ποιέειν. Μετὰ δὲ, τὴν μὲν ὑποθέσθαι· τὸν δὲ, ἀπικόμενον ἐπὶ τὸν κολωνὸν τὸν πρὸ τῆς πόλιος ἐόντα, τὸ ἕρκος θεσμοφόρου Δήμητρος ὑπερθορέειν, οὐ δυνάμενον τὰς θύρας ἀνοῖξαι· ὑπερθορόντα δὲ, ἰέναι ἐπὶ τὸ μέγαρον, ὅτι δὴ ποιήσοντα ἐντὸς, εἴτε κινήσοντά τι τῶν ἀκινήτων, εἴτε ὁτιδήποτε πρήξοντα· πρὸς τῇσι θύρῃσί τε γενέσθαι, καὶ πρόκα τε φρίκης αὐτον ὑπελθούσης, ὀπίσω τὴν αὐτὴν ὁδὸν ἵεσθαι· καταθρώσκοντα δὲ τὴν αἱμασιὴν, τὸν μηρὸν σπασθῆναι· οἱ δὲ αὐτὸν τὸ γόνυ προσπταῖσαι λέγουσι. Μιλτιάδης μέν νυν φλαύρως ἔχων, ἀπέπλεε ὀπίσω, οὔτε χρήματα Ἀθηναίοισι ἄγων, οὔτε Πάρον προσκτησάμενος, ἀλλὰ πολιορκίσας τε ἓξ καὶ εἴκοσι ἡμέρας, καὶ δηϊώσας τὴν νῆσον. Πάριοι δὲ, πυθόμενοι ὡς ἡ ὑποζάκορος τῶν θεῶν Τιμὼ Μιλτιάδῃ κατηγήσατο, βουλόμενοί μιν ἀντὶ τουτέων τιμωρήσασθαι, θεοπρόπους πέμπουσι ἐς Δελφοὺς, ὥς σφεας ἡσυχίη τῆς πολιορκίης ἔσχε. Ἔπεμπον δὲ ἐπειρησομένους εἰ καταχρήσονται τὴν ὑποζάκορον τῶν θεῶν, ὡς ἐξηγησαμένην τοῖσι ἐχθροῖσι τῆς πατρίδος ἅλωσιν, καὶ τὰ ἐς ἔρσενα γόνον ἄῤῥητα ἱρὰ ἐκφήνασαν Μιλτιάδῃ. Ἡ δὲ Πυθίη οὐκ ἔα, φᾶσα οὐ Τιμοῦν εἶναι τὴν αἰτίην τουτέων, ἀλλὰ, δεῖν γὰρ Μιλτιάδεα τελευτᾶν μὴ εὖ, φανῆναί οἱ τῶν κακῶν κατηγεμόνα. Παρίοισι μὲν δὴ ταῦτα ἡ Πυθίη ἔχρησε. Ἀθηναῖοι δὲ ἐκ Πάρου Μιλτιάδεα ἀπονοςήσαντα ἔσχον ἐν στόματι, οἵ τε ἄλλοι, καὶ μάλιστα Ξάνθιππος ὁ Ἀρίφρονος, ὃς θανάτου ὑπαγαγὼν ὑπὸ τὸν δῆμον Μιλτιάδεα ἐδίωκε τῆς Ἀθηναίων ἀπάτης εἵνε-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

κεν. Μιλτιάδης δὲ, αὐτὸς μὲν παρεὼν οὐκ ἀπελογέετο, ἦν γὰρ ἀδύνατος, ὥστε σηπομένου τοῦ μηροῦ· προκειμένου δὲ αὐτοῦ ἐν κλίνῃ, ὑπεραπολογέοντο οἱ φίλοι, τῆς μάχης τε τῆς ἐν Μαραθῶνι πολλὰ ἐπιμεμνημένοι, καὶ τὴν Λήμνου αἵρεσιν· ὡς ἑλὼν Λῆμνόν τε καὶ τισάμενος τοὺς Πελασγοὺς, παρέδωκε Ἀθηναίοισι. Προσγενομένου δὲ τοῦ δήμου αὐτῷ κατὰ τὴν ἀπόλυσιν τοῦ θανάτου, ζημιώσαντος δὲ κατὰ τὴν ἀδικίην πεντήκοντα τάλαντα, Μιλτιάδης μὲν μετὰ ταῦτα, σφακελίσαντός τε τοῦ μηροῦ καὶ σαπέντος, τελευτᾷ· τὰ δὲ πεντήκοντα τάλαντα ἐξέτισε ὁ παῖς αὐτοῦ Κίμων.

ΛΗΜΝΟΝ δὲ Μιλτιάδης ὁ Κίμωνος ὧδε ἔσχε. Πελασγοὶ, ἐπεί τε ἐκτὸς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐξελάθησαν, εἴτε ὦν δὴ δικαίως, εἴτε ἀδίκως, τοῦτο γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα, ὅτι Ἑκαταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι λέγων ἀδίκως. Ἐπεί τε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν χώρην, τήν σφισι ὑπὸ τὸν Ὑμησσὸν ἐοῦσαν ἔδοσαν οἰκῆσαι, μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολίν κοτε ἐληλαμένου· ταύτην ὡς ἰδεῖν τοὺς Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβεῖν φθόνον τε καὶ ἵμερον τῆς γῆς, καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδεμίην ἄλλην πρόφασιν προϊσχομένους τοὺς Ἀθηναίους. Ὡς δὲ αὐτοὶ Ἀθηναῖοι λέγουσι, δικαίως ἐξελάσαι. Κατοικημένους γαρ τοὺς Πελασγοὺς ὑπὸ τῷ Ὑμησσῷ, ἐνθεῦτεν ὁρμεωμένους, ἀδικέειν τάδε. Φοιτᾷν γὰρ αἰεὶ τὰς σφετέρας θυγατέρας ἐπ' ὕδωρ ἐπὶ τὴν Ἐννεάκρουνον· οὐ γὰρ εἶναι τοῦτον τὸν χρόνον σφίσι κω οὐδὲ τοῖσι ἄλλοισι Ἕλλησι οἰκέτας. Ὅκως δὲ ἔλθοιεν αὗται, τοὺς Πελασγοὺς ὑπὸ ὕβριός τε καὶ ὀλιγωρίης βιάσθαι σφέας. Καὶ ταῦτα μέντοι σφίσι οὐκ ἀποχρᾶν ποιέειν, ἀλλὰ τέλος καὶ ἐπιβουλεύοντας ἐπιχειρήσειν, ἐπ' αὐτοφώρῳ φανῆναι. Ἑωϋτοὺς δὲ γενέσθαι τοσοῦτο ἐκείνων ἄνδρας ἀμύνονας, ὅσῳ παρεὸν αὐτοῖσι ἀποκτεῖναι τοὺς Πελασγοὺς, ἐπεί σφεας ἔλαβον ἐπιβουλεύοντας, οὐκ ἐθελῆσαι, ἀλλά σφι προειπεῖν ἐκ τῆς γῆς ἐξιέναι. Τοὺς δὲ, οὕτω δὴ ἐκχωρήσαντας, ἄλλα τε σχεῖν χωρία καὶ δὴ καὶ Λῆμνον. Ἐκεῖνα μὲν δὴ Ἑκαταῖος ἔλεξε, ταῦτα δὲ Ἀθηναῖοι λέγουσι. Οἱ δὲ Πελασγοὶ οὗτοι, Λῆμνον τότε νεμόμενοι, καὶ βουλόμενοι τοὺς Ἀθηναίους τιμωρήσασθαι, εὖ τε ἐξεπιστάμενοι τὰς Ἀθηναίων ὁρτὰς, πεντηκοντέρους στησάμενοι, ἐλόχησαν Ἀρτέμιδι ἐν Βραυρῶνι ἀγούσας ὁρτὴν τὰς τῶν Ἀθηναίων γυναῖκας. Ἐνθεῦτεν δὲ ἁρπάσαντες τουτέων πολλὰς, οἴχοντο ἀποπλέοντες· καί σφεας ἐς Λῆμνον ἀγαγόντες, παλλακὰς εἶχον. Ὡς δὲ τέκνων αὗται αἱ γυναῖκες ὑπεπλήσθησαν, γλῶσσάν τε τὴν Ἀττικὴν καὶ τρόπους τῶν Ἀθηναίων ἐδίδασκον τοὺς παῖδας. Οἱ δὲ οὔτε συμμίσγεσθαι τοῖσι ἐκ τῶν Πελασγίδων γυναικῶν παισὶ ἤθελον, εἴ τε τύπτοιτό τις αὐτέων ὑπ' ἐκείνων τινὸς, ἐβοήθεόν τε πάντες, καὶ ἐτιμώρεον ἀλλή-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

λοισι· καὶ δὴ καὶ ἄρχειν τε τῶν παίδων οἱ παῖδες ἐδικαίευν, καὶ πολλὸν ἐπεκράτεον. Μαθόντες δὲ ταῦτα οἱ Πελασγοὶ, ἑωυτοῖσι λόγους ἐδίδοσαν· καί σφισι βουλευομένοισι, δεινόν τι ἐσέδυνε, εἰ δὴ διαγινώσκοιεν σφίσι τε βοηθέειν οἱ παῖδες πρὸς τῶν κουριδιέων γυναικῶν τοὺς παῖδας, καὶ τουτέων αὐτίκα ἄρχειν πειρῴατο, τί δὴ ἀνδρωθέντες δῆθεν ποιήσουσι; ἐνθαῦτα ἔδοξέ σφι κτείνειν τοὺς παῖδας τοὺς ἐκ τῶν Ἀττικέων γυναικῶν. Ποιεῦσι δὴ ταῦτα· προσαπολλύουσι δέ σφεων καὶ τὰς μητέρας. Ἀπὸ τούτου δὲ τοῦ ἔργου, καὶ τοῦ προτέρου τούτων τὸ ἐργάσαντο αἱ γυναῖκες, τοὺς ἅμα Θόαντι ἄνδρας σφετέρους ἀποκτείνασαι, νενόμισται ἀνὰ τὴν Ἑλλάδα τὰ σχέτλια ἔργα πάντα, Λήμνια καλέεσθαι. Ἀποκτείνασι δὲ τοῖσι Πελασγοῖσι τοὺς σφετέρους παῖδάς τε καὶ γυναῖκας, οὔτε γῆ καρπὸν ἔφερε, οὔτε γυναῖκές τε καὶ ποῖμναι ὁμοίως ἔτικτον καὶ προτοῦ. Πιεζόμενοι δὲ λιμῷ τε καὶ ἀπαιδίῃ, ἐς Δελφοὺς ἔπεμπον, λύσιν τινὰ αἰτησόμενοι τῶν παρεόντων κακῶν. Ἡ δὲ Πυθίη σφέας ἐκέλευε Ἀθηναίοισι δίκας διδόναι ταύτας τὰς ἂν αὐτοὶ Ἀθηναῖοι δικάσωσι. Ἦλθόν τε δὴ ἐς τὰς Ἀθήνας οἱ Πελασγοὶ, καὶ δίκας ἐπαγγέλλοντο βουλόμενοι διδόναι παντὸς τοῦ ἀδικήματος. Ἀθηναῖοι δὲ ἐν τῷ πρυτανηΐῳ κλίνην στρώσαντες, ὡς εἶχον κάλλιστα, καὶ τράπεζαν ἐπιπλέην ἀγαθῶν πάντων παραθέντες, ἐκέλευον τοὺς Πελασγοὺς τὴν χώρην σφίσι παραδιδόναι οὕτω ἔχουσαν. Οἱ δὲ Πελασγοὶ ὑπολαβόντες, εἶπαν· « Ἐπεὰν βορέῃ ἀνέμῳ αὐτημερὸν νηῦς ἐξανύσῃ ἐκ τῆς ὑμετέρης ἐς τὴν ἡμετέρην, τότε παραδώσομεν. » Τοῦτο εἶπαν, ἐπιστάμενοι τοῦτο εἶναι ἀδύνατον γενέσθαι· ἡ γὰρ Ἀττικὴ πρὸς νότον κέεται πολλὸν τῆς Λήμνου. Τότε μὲν τοιαῦτα. Ἔτεσι δὲ κάρτα πολλοῖσι ὕστερον τουτέων, ὡς ἡ Χερσόνησος ἡ ἐν Ἑλλησπόντῳ ἐγένετο ὑπ' Ἀθηναίοισι, Μιλτιάδης ὁ Κίμωνος, ἐτησιέων ἀνέμων κατεστηκότων, νηῒ κατανύσας ἐξ Ἐλαιοῦντος τοῦ ἐν Χερσονήσῳ ἐς τὴν Λῆμνον, προηγόρευε ἐξιέναι ἐκ τῆς νήσου τοῖσι Πελασγοῖσι, ἀναμιμνήσκων σφέας τὸ χρηστήριον τὸ οὐδαμὰ ἤλπισαν σφίσι οἱ Πελασγοὶ ἐπιτελέεσθαι. Ἡφαιστιέες μέν νυν ἐπείθοντο· Μυριναῖοι δὲ, οὐ συγγινωσκόμενοι εἶναι τὴν Χερσόνησον Ἀττικὴν, ἐπολιορκέοντο, ἐς ὃ καὶ οὗτοι παρέστησαν. Οὕτω δὴ τὴν Λῆμνον ἔσχον Ἀθηναῖοί τε καὶ Μιλτιάδης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ΕΚ ΤΗΣ ΕΒΔΟΜΗΣ ΤΩΝ ΙΣΤΟΡΙΩΝ

# ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΗΟΣ

## ΕΠΙΓΡΑΦΟΜΕΝΗΣ ΠΟΛΥΜΝΙΑ.

201. Βασιλεὺς μὲν δὴ Ξέρξης ἐςρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ· οἱ δὲ δὴ Ἕλληνες ἐν τῇ διόδῳ. Καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων Θερμοπύλαι· ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοίκων, Πύλαι. Ἐστρατοπεδεύοντο μὲν νῦν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι. Ἐπεκράτεε δὲ ὁ μὲν τῶν πρὸς βορῆν ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος· οἱ δὲ τῶν πρὸς νότον καὶ μεσαμβρίην φερόντων ἐπὶ ταύτης τῆς ἠπείρου. Ἔσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ· Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται, καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων· ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης εἴκοσι καὶ ἑκατὸν, καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης χίλιοι· τοσοῦτοι μὲν Ἀρκάδων· ἀπὸ δὲ Κορίνθου τετρακόσιοι, καὶ ἀπὸ Φλιοῦντος διηκόσιοι, καὶ Μυκηναίων ὀγδώκοντα· οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν· ἀπὸ δὲ Βοιωτῶν Θεσπιέων τε ἑπτακόσιοι, καὶ Θηβαίων τετρακόσιοι. Πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ, καὶ Φωκέων χίλιοι. Αὐτοὶ γάρ σφεας οἱ Ἕλληνες ἐπεκαλέσαντο, λέγοντες δι' ἀγγέλων, ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἶεν ἡμέρην· ἡ θάλασσά τέ σφι εἴη ἐν φυλακῇ, ὑπ' Ἀθηναίων τε φρουρεομένη καὶ Αἰγινητέων καὶ τῶν ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα, ἀλλ' ἄνθρωπον· εἶναι δὲ θνητὸν οὐδένα, οὐδὲ ἔσεσθαι, τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη· τοῖσι δὲ μεγίςοισι αὐτέων μέγιςα· ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα ὡς ἐόντα θνητὸν, ἀπὸ τῆς δόξης πεσέειν ἄν. Οἱ δὲ, ταῦτα πυνθανόμενοι, ἐβοήθεον ἐς τὴν Τρηχῖνα. Τούτοισι ἔσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλιας ἑκάστων· ὁ δὲ θωϋμαζόμενος μάλιςα καὶ παντὸς τοῦ ςρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν, Λεωνίδης ὁ Ἀναξανδρίδεω, τοῦ Λέοντος, τοῦ Εὐρυκρατίδεω, τοῦ Ἀναξάνδρου, τοῦ Εὐρυκράτεος, τοῦ Πολυδώρου, τοῦ Ἀλκαμένεος, τοῦ Τηλέκλου, τοῦ Ἀρχέλεω, τοῦ Ἡγησίλεω, τοῦ Δορύσσου, τοῦ Λεωβότεω, τοῦ Ἐχεςράτου, τοῦ Ἥγιος, τοῦ Εὐρυσθένεος, τοῦ Ἀριςοδήμου, τοῦ Ἀριςομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος κτησάμενος τὴν βασιληΐην



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐν Σπάρτῃ ἐξ ἀπροσδοκήτου. Διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος περὶ τῆς βασιληΐης. Ἀποθανόντος δὲ Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος, ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληΐη· καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου, οὗτος γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς, καὶ δὴ καὶ εἶχε Κλεομένεος θυγατέρα· ὃς τότε ἤϊε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας τριηκοσίους, καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες. Παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεοντιάδης ὁ Εὐρυμάχου· Τοῦδε δὲ εἵνεκα τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν. Παρεκάλεε ὦν ἐς τὸν πόλεμον, θέλων εἰδέναι, εἴτε συμπέμψουσι, εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. Οἱ δὲ, ἀλλοφρονέοντες, ἔπεμπον. Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέπεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες οἱ ἄλλοι σύμμαχοι στρατεύωνται, μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δὲ, Κάρνεια γάρ σφι ἦν ἐμποδὼν, ἔμελλον ὁρτάσαντες, καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ, κατὰ τάχος βοηθήσειν πανδημεί. Ὣς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα. Οὔκων δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον, ἔπεμπον τοὺς προδρόμους. Οὗτοι μὲν δὴ οὕτω διενένωντο ποιήσειν. Οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταῤῥωδέοντες, ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. Τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· Λεωνίδης δὲ, Φωκέων καὶ Λοκρῶν περισπερχέων ἐόντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ τε μένειν ἐψηφίζετο, πέμπειν τε ἀγγέλους ἐς τὰς πόλιας, κελεύοντάς σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτέων ὀλίγων στρατὸν τῶν Μήδων ἀλέξασθαι. Ταῦτα βουλευομένων σφέων, ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα ἰδέσθαι, ὁκόσοι τέ εἰσι, καὶ ὅ, τι ποιέοιεν. Ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ, ὡς ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας, ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης ἐὼν γένος Ἡρακλεΐδης. Ὡς δὲ προσέλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὐ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε. Τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἔκειτο. Ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. Τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. Ταῦ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημοτική Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τα δὴ θεώμενος, ἐθώϋμαζε, καὶ τὸ πλῆθος ἐμάνθανε. Μαθὼν δὲ πάντα ἀτρεκέως, ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην· οὔτε γάρ τις ἐδίωκε, ἀλογίης τε ἐνεκύρησε πολλῆς· ἀπελθὼν δὲ ἔλεγε πρὸς Ξέρξεα τάπερ ὀπώπεε πάντα. Ἀκούων δὲ Ξέρξης, οὐκ εἶχε συμβαλέσθαι τὸ ἐὸν, ὅτι παρασκευάζοντο ὡς ἀπολεύμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ', αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ. Ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τουτέων, ἐθέλων μαθέειν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. Ὁ δὲ εἶπε· « Ἤκουσας μέν μευ καὶ πρότερον, εὖτε » ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τουτέων· ἀκούσας δὲ » γέλωτά με ἔθευ, λέγοντα τάπερ ὥρων ἐκβησόμενα πρήγματα » ταῦτα. Ἐμοὶ γὰρ τὴν ἀληθηΐην ἀσκέειν ἀντία σεῦ, ὦ βασιλεῦ, » ἀγὼν μέγιστός ἐστι· ἄκουσον δὲ καὶ νῦν. Οἱ ἄνδρες οὗτοι ἀπίκαται » μαχεσόμενοι ἡμῖν περὶ τῆς ἐσόδου, καὶ ταῦτα παρασκευάζονται. » Νόμος γάρ σφι οὕτω ἔχων ἐστί· ἐπεὰν μέλλωσι κιδυνεύειν τῇ ψυχῇ, » τότε τὰς κεφαλὰς κοσμέονται. Ἐπίστασο δὲ, εἰ τούτους τε καὶ τὸ » ὑπομένον ἐν Σπάρτῃ καταστρέψαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώ- » πων, τό σε, βασιλεῦ, ὑπομενέει χεῖρας ἀνταειρόμενον. Νῦν γὰρ πρὸς » βασιληΐην τε καλλίστην τῶν ἐν Ἕλλησι προσφέρεαι, καὶ ἄνδρας » ἀρίστους. » Κάρτα τε δὴ ἄπιστα Ξέρξῃ ἐφαίνετο τα λεγόμενα εἶναι, καὶ δεύτερα ἐπειρώτα ὅντινα τρόπον, τοσοῦτοι ἐόντες, οἵοί τέ εἰσι τῇ ἑωϋτοῦ στρατιῇ μαχέσασθαι. Ὁ δὲ εἶπε· « Ὦ βασιλεῦ, ἐμοὶ χρᾶ- » σθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι ταύτῃ ἐκβῇ, τῇ ἐγὼ λέγω. » Ταῦτα λέγων οὐκ ἔπειθε τὸν Ξέρξεα. Τέσσερας μὲν δὴ παρεξῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι· πέμπτῃ δὲ, ὡς οὐκ ἀπαλλάσσοντο, ἀλλά οἱ ἐφαίνοντο, ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεώμενοι, μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθεὶς, ἐντειλάμενός σφεας ζωγρήσαντας ἄγειν ἐς ὄψιν τὴν ἑωϋτοῦ. Ὡς δὲ ἐπέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί· ἄλλοι δ' ἐπεσήϊσαν, καὶ οὐκ ἀπέλαυνον, καίπερ μεγάλως προσπταίοντες. Δῆλον δ' ἐποίευν παντί τεῳ, καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. Ἐγίνετο δὲ ἡ συμβολὴ δι' ἡμέρης. Ἐπεί τε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήϊσαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήϊσαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεὺς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. Ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς, ἀλλὰ τὰ αὐτὰ, ἅτε ἐν στεινοπόρῳ τε χώρῳ μαχόμενοι, καὶ δόρασι βραχυτέροισι χρεώμενοι, ἤπερ οἱ Ἕλληνες, καὶ οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἀλέες φευ-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

γεσκον δῆθεν· οἱ δὲ βάρβαροι, ὁρέωντες φεύγοντας, βοῇ τε καὶ πατάγῳ ἐπήϊσαν· οἱ δ᾽ ἂν καταλαμβανόμενοι ἐπέςρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι· μεταστρεφόμενοι δὲ κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων· ἔπιπτον δὲ καὶ αὐτέων τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. Ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου πειρεώμενοι, καὶ κατὰ τέλεα καὶ παντοίως προςβάλλοντες, ἀπήλαυνον ὀπίσω. Ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεσθαι βασιλῆα θηεύμενον τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου, δείσαντα περὶ τῇ στρατιῇ. Τότε μὲν οὕτω ἠγωνίσαντο. Τῇ δ᾽ ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον. Ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντες σφέας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρασθαι, συνέβαλλον. Οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἔσαν, καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ οὖρος ἐτάχθησαν, φυλάξοντες τὴν ἀτραπόν. Ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον. Ἀπορέοντος δὲ βασιλῆος, ὅ,τι χρήσεται τῷ παρεόντι πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου, ἀνὴρ Μηλιεὺς, ἦλθέ οἱ ἐς λόγους, ὡς μέγα τι παρὰ βασιλῆος δοκέων οἴσεσθαι· ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ οὔρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ ὑπομείναντας Ἑλλήνων· Ὕστερον δὲ δείσας Λακεδαιμονίους ἔφυγε ἐς Θεσσαλίην, καί οἱ φυγόντι ὑπὸ τῶν Πυλαγόρων, τῶν Ἀμφικτυόνων ἐς τὴν Πυλαίην συλλεγομένων, ἀργύριον ἐπεκηρύχθη. Χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ ἐς Ἀντικύρην, ἀπέθανε ὑπὸ Ἀθηνάδεω, ἀνδρὸς Τρηχινίου. Ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι᾽ ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω· ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἧσσον. Ἐπιάλτης μὲν οὕτω ὕςερον τουτέων ἀπέθανε. Ἔςι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης τε ὁ Φαναγόρεω, ἀνὴρ Καρύςιος, καὶ Κορυδαλὸς Ἀντικυρεὺς, εἰσὶ οἱ εἴπαντες πρὸς βασιλῆα τούτους τοὺς λόγους καὶ περιηγησάμενοι τὸ οὖρος τοῖσι Πέρσῃσι· οὐδαμῶς ἔμοι γε πιςός. Τοῦτο μὲν γὰρ τῷδε χρὴ ςαθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων Πυλαγόροι ἐπεκήρυξαν οὐκ ἐπὶ Ὀνήτῃ τε καὶ Κορυδαλῷ ἀργύριον, ἀλλ᾽ ἐπὶ Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως κου τὸ ἀτρεκέςατον πυθόμενοι· τοῦτο δὲ φεύγοντα τὸν Ἐπιάλτην ταύτην τὴν αἰτίην οἴδαμεν. Εἰδείη μὲν γὰρ ἂν καὶ ἐὼν μὴ Μηλιεὺς ταύτην τὴν ἀτραπὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ ὡμιληκὼς εἴη· ἀλλ᾽, Ἐπιάλτης γάρ ἐςι ὁ περιηγησάμενος τὸ οὖρος κατὰ τὴν ἀτραπὸν, τοῦτον αἴτιον γράφω. Ξέρξης δὲ, ἐπεί οἱ ἤρεσε τὰ ὑπέσχετο ὁ Ἐπιάλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενόμενος, ἔπεμπε Ὑδάρνεα, καὶ τῶν ἐςρατήγεε Ὑδάρνης. Ὡρμέατο δὲ περὶ λύχνων ἀφὰς ἐκ τοῦ ςρατοπέδου. Τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες· ἐξευρόντες δὲ, Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φω-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

χέας, τότε ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν, ἔσαν ἐν σκέπῃ τοῦ πολέμου· ἔκ τε τόσου δὴ κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι. Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη. Ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος· οὔνομα δὲ τῷ οὔρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τὠυτὸ κεῖται, Ἀνόπαια· τείνει δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ οὔρεος, λήγει δὲ κατά τε Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρίδων πρὸς τῶν Μηλιέων, καὶ κατὰ Μελάμπυγόν τε καλεόμενον λίθον, καὶ κατὰ Κερκώπων ἕδρας· τῇ καὶ τὸ στεινότατόν ἐστι. Κατὰ ταύτην δὴ τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν, οἱ Πέρσαι, τὸν Ἀσωπὸν διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες οὔρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ τὰ Τρηχινίων. Ἠώς τε δὴ διέφαινε, καὶ ἐγένοντο ἐπ' ἀκρωτηρίῳ τοῦ οὔρεος. Κατὰ δὲ τοῦτο τοῦ οὔρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην καὶ φρουρέοντες τὴν ἀτραπόν. Ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἴρηται· τὴν δὲ διὰ τοῦ οὔρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον. Ἔμαθον δέ σφεας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ οὖρος, πᾶν ἐὸν δρυῶν ἐπίπλεον. Ἦν μὲν δὴ νηνεμίη· ψόφου δὲ γενομένου πολλοῦ, ὡς οἰκὸς ἦν, φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσὶ, ἀνά τε ἔδραμον οἱ Φωκέες, καὶ ἐνέδυνον τὰ ὅπλα· καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. Ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θωύματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον, ἐνεκύρησαν στρατῷ. Ἐνθαῦτα Ὑδάρνης καταῤῥωδήσας, μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο τὸν Ἐπιάλτεα, ποδαπὸς εἴη ὁ στρατός· πυθόμενος δὲ ἀτρεκέως, διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. Οἱ δὲ Φωκέες, ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ οὔρεος τὸν κόρυμβον, ἐπιστάμενοι, ὡς ἐπὶ σφέας ὡρμήθησαν ἀρχὴν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. Οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον. Οἱ δὲ ἀμφὶ Ἐπιάλτεα καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ οὖρος κατὰ τάχος. Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων πρῶτον μὲν ὁ μάντις Μεγιστίης, ἐσιδὼν ἐς τὰ ἱρὰ, ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον. Ἐπεὶ δὲ καὶ αὐτόμολοι ἦισαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον, (οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν) τρίτοι δὲ οἱ ἡμεροσκόποι, καταδραμόντες ἀπὸ τῶν ἄκρων, ἤδη διαφαινούσης ἡμέρης, ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι. Οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν, οἱ δὲ ἀντέτεινον. Μετὰ δὲ τοῦτο διακριθέντες, οἱ μὲν ἀπαλλάσσοντο, καὶ διασκεδασθέντες κατὰ πόλις ἕκαστοι ἐτράποντο· οἱ δὲ αὐτέων ἅμα Λεωνίδῃ μένειν αὐτοῦ παρασκευάδατο. Λέγεται δὲ καὶ ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν, ἐς τὴν ἦλθον φυλάξοντες ἀρχήν. Ταύτῃ καὶ μᾶλλον τῇ γνώμῃ πλεῖςός εἰμι, Λεωνίδην, ἐπεί τε ᾔσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαί σφεας ἀπαλλάσσεσθαι· αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν. Μένοντι δὲ αὐτοῦ κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. Ἐκέχρητο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάςατον γενέσθαι ὑπὸ τῶν βαρβάρων ἢ τὸν βασιλῆά σφεων ἀπολέσθαι. Ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισ' χρᾷ, λέγοντα ὧδε,

Ὑμῖν δ' ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
Ἢ μέγα ἄστυ 'ρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
Πέρθεται· ἢ το μὲν οὐκὶ, ἀφ' Ἡρακλέος δὲ γενέθλης
Πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
Οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
Ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἑ φημὶ
Σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

Ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλόμενον κλέος καταθέσθαι μοῦνον Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον, ἢ γνώμῃ διενειχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους. Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιςον τούτου πέρι γέγονε. Οὐ γὰρ μοῦνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν μάντιν, ὃς εἵπετο τῇ ςρατιῇ ταύτῃ, Μεγιςίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον τὸν εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν φανερός ἐςι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. Ὁ δὲ, ἀποπεμπόμενος, αὐτὸς μὲν οὐκ ἀπελίπετο, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε. Οἱ μέν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδῃ. Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. Τουτέων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι· κατεῖχε γάρ σφεας Λεωνίδης, ἐν ὁμήρων λόγῳ ποιεύμενος· Θεσπιέες δὲ ἑκόντες μάλιστα· οἱ οὐκ ἔφασαν, ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ' αὐτοῦ, ἀπαλλάξεσθαι, ἀλλὰ μεταμείναντες συναπέθανον. Ἐςρατήγεε δὲ αὐτέων Δημόφιλος Διαδρόμεω. Ξέρξης δὲ, ἐπεὶ ἡλίου ἐπανατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον, ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω. Ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι καὶ βραχύτερος ὁ χῶρος πολλὸν, ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις. Οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξεα προσήϊσαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἢ κατ᾽ ἀρχὰς ἐπεξήϊσαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος· τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο. Οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο. Τότε δὴ συμμίσγοντες ἔξω τῶν στεινῶν, ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων. Ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐῤῥάπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. Πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτέων ἐς τὴν θάλασσαν καὶ διεφθείροντο· πολλῷ δ᾽ ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ᾽ ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. Ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ τῶν περιϊόντων τὸ οὖρος, ἐπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε καὶ ἀτέοντες. Δόρατα μέν νυν τοῖσι πλεόνεσιν αὐτέων τηνικαῦτα ἐτύγχανε κατεηγότα ἤδη, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. Καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει, ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ᾽ αὐτοῦ οὐνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα· ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων. Καὶ δὴ καὶ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ οὐνομαστοὶ, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες, Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Δαρείῳ. Ὁ δὲ Ἀρτάνης Δαρείου μὲν τοῦ βασιλῆος ἦν ἀδελφεὸς, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεω παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ τὸν οἶκον πάντα τὸν ἑωϋτοῦ ἐπέδωκε, ὡς μούνου οἱ ἐούσης ταύτης τέκνου. Ξέρξεω τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχεόμενοι, καὶ ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγένετο πολλός· ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν, καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. Τοῦτο δὲ συνεστήκεε, μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. Ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος. Ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος, ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων. Ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. Ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτέων ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι βάλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάντοθεν περισταδόν. Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, ὅμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης Διηνέκης· τὸν τόδε φασὶ εἶπαι τὸ ἔπος πρὶν ἢ συμμῖξαι σφέας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων, ὡς ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν οϊστῶν ἀποκρύπτειν· τοσοῦτό τι πλῆθος αὐτέων εἶναι· τὸν δὲ, οὐκ ἐκπλαγέντα τούτοισι, εἶπαι, ἐν ἀλογίῃ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ποιεύμενον τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ, ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον, ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη, καὶ οὐκ ἐν ἡλίῳ. Ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα. Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοὶ, Ἀλφεός τε καὶ Μάρων, Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα, τῷ οὔνομα ἦν Διθύραμβος, Ἁρματίδεω. Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ, τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι, ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε,

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
Ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται· τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ,

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα τοῖς κείνων ῥήμασι πυθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο· τῷ δὲ μάντι τόδε,

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι·
Μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς
Οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτυόνες εἰσί σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας. Δύο δὲ τουτέων τῶν τριηκοσίων λέγεται Εὔρυτόν τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι, κοινῷ λόγῳ χρησαμένοισι, ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι τε ἔσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω, καὶ κατεκέατο ἐν Ἀλπηνοῖσι ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον, ἤ, εἴγε μὴ ἐβούλοντο νοστῆσαι, ἀποθανέειν ἅμα τοῖσι ἄλλοισι· παρεόν σφι τουτέων τὰ ἕτερα ποιέειν, οὐκ ἐθελῆσαι ὁμοφρονέειν, ἀλλὰ γνώμῃ διενειχθέντας, Εὔρυτον μὲν, πυθόμενον τὴν τῶν Περσέων περίοδον, αἰτήσαντά τε τὰ ὅπλα καὶ ἐνδύντα, ἄγειν αὐτὸν κελεῦσαι τὸν εἵλωτα ἐς τοὺς μαχομένους· ὅκως δὲ αὐτὸν ἤγαγε, τὸν μὲν ἀγαγόντα οἴχεσθαι φεύγοντα, τὸν δὲ, ἐσπεσόντα ἐς τὸν ὅμιλον, διαφθαρῆναι· Ἀριστόδημον δὲ λειποψυχέοντα λειφθῆναι. Εἰ μὲν νυν ἦν μοῦνον Ἀριστόδημον ἀλγήσαντα ἀπονοστῆσαι ἐς Σπάρτην, ἢ καὶ ὁμοῦ σφέων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν ἐμοὶ, οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίην προσθέσθαι· νυνὶ δὲ, τοῦ μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος, οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγκαίως σφι ἔχειν μηνῖσαι μεγάλως Ἀριστοδήμῳ. Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον ἐς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Σπάρτην καὶ διὰ πρόφασιν τοιήνδε· οἱ δὲ, ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην, οὐκ ἐθελῆσαι, ἀλλ᾽ ὑπομείναντα ἐν τῇ ὁδῷ περιγενέσθαι· τὸν δὲ συνάγγελον αὐτοῦ, ἀπικόμενον ἐς τὴν μάχην, ἀποθανεῖν. Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος ὄνειδός τε εἶχε καὶ ἀτιμίην· πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιητέων, οὔτε διελέγετο, ὄνειδός τε εἶχε ὁ τρέσας Ἀριστόδημος καλεόμενος. Ἀλλ᾽ ὁ μὲν ἐν τῇ ἐν Πλαταιῆσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενεχθεῖσάν οἱ αἰτίην. Λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τουτέων περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι. Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο, ὑπ᾽ ἀναγκαίης ἐχόμενοι, πρὸς τὴν βασιλέος στρατιήν· ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δὴ, τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνὸν, ἀποσχισθέντες τουτέων, χεῖράς τε προέτεινον, καὶ ἤϊσαν ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς καὶ μηδίζουσι, καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν βασιλέϊ, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερμοπύλας ἀπικοίατο, καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέϊ· ὥστε ταῦτα λέγοντες περιεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τῶν λόγων τουτέων μάρτυρας. Οὐ μέντοι τά γε πάντα εὐτύχησαν· ὡς γὰρ αὐτοὺς ἔλαβαν οἱ βάρβαροι ἐλθόντας, τοὺς μέν τινας καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλεῦνας αὐτέων, κελεύσαντος Ξέρξεω, ἔστιζον στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω, τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτα ἐφόνευσαν Πλαταιέες, στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων, καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων. Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο.

Ξέρξης δὲ καλέσας Δημάρητον, εἰρώτα ἀρξάμενος ἐνθένδε· « Δημά-
» ρητε, ἀνὴρ εἶς ἀγαθός· τεκμαίρομαι δὲ τῇ ἀληθείῃ· ὅσα γὰρ εἶπας,
» ἅπαντα ἀπέβη οὕτω. Νῦν δέ μοι εἰπὲ κόσοι τινές εἰσι οἱ λοιποὶ
» Λακεδαιμόνιοι, καὶ τουτέων ὁκόσοι τοιοῦτοι τὰ πολέμια, εἴτε καὶ
» ἅπαντες. » Ὁ δ᾽ εἶπε, « Ὦ βασιλεῦ, πλῆθος μὲν πάντων τῶν Λα-
» κεδαιμονίων πολλὸν, καὶ πόλις πολλαί· τὸ δὲ θέλεις ἐκμαθέειν,
» εἰδήσεις. Ἔστι ἐν τῇ Λακεδαίμονι Σπάρτη, πόλις ἀνδρῶν ὀκτακισ-
» χιλίων μάλιστα· καὶ οὗτοι πάντες εἰσὶ ὅμοιοι τοῖσι ἐνθάδε μαχε-
» σαμένοισι· οἵ γε μὴν ἄλλοι Λακεδαιμόνιοι τούτοισι μὲν οὐκ ὅμοιοι,
» ἀγαθοὶ δέ. » Εἶπε πρὸς ταῦτα Ξέρξης, « Δημάρητε, τέῳ τρόπῳ
» ἀπονητότατα τῶν ἀνδρῶν τουτέων ἐπικρατήσομεν; ἴθι ἐξηγέο·
» σὺ γὰρ ἔχεις αὐτέων τὰς διεξόδους τῶν βουλευμάτων, οἷα βασι-
» λεὺς γενόμενος. » Ὁ δ᾽ ἀμείβετο, « Ὦ βασιλεῦ, εἰ μὲν δὴ συμβου-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» λεύεαί μοι προθύμως, δίκαιόν μέ σοί ἐστι φράζειν τὸ ἄριστον· εἰ
» τῆς ναυτικῆς στρατιῆς νέας τριηκοσίας ἀποστείλειας ἐπὶ τὴν Λά-
» καιναν χώρην. Ἔστι δὲ ἐπ' αὐτῇ νῆσος ἐπικειμένη, τῇ οὔνομά ἐςι
» Κύθηρα· τὴν Χίλων, ἀνὴρ παρ' ἡμῖν σοφώτατος γενόμενος, κέρδος
» μέζον ἔφη εἶναι Σπαρτιήτῃσι κατὰ τῆς θαλάσσης καταδεδυκέναι
» μᾶλλον ἢ ὑπερέχειν, αἰεί τι προσδοκῶν ἐπ' αὐτῆς τοιοῦτο ἔσεσθαι,
» οἷόν τι ἐγὼ ἐξηγέομαι· οὔτι τὸν σὸν ςόλον προειδὼς, ἀλλὰ πάντα
» ὁμοίως φοβεόμενος ἀνδρῶν ςόλον. Ἐκ ταύτης ὦν τῆς νήσου ὁρμε-
» ώμενοι, φοβεόντων τοὺς Λακεδαιμονίους. Παροίκου δὲ πολέμου
» σφι ἐόντος οἰκηΐου, οὐδὲν δεινοὶ ἔσονταί τοι, μὴ τῆς ἄλλης Ἑλλά-
» δος ἁλισκομένης ὑπὸ τοῦ πεζοῦ, βοηθέωσι ταύτῃ. Καταδουλωθείσης
» δὲ τῆς ἄλλης Ἑλλάδος, ἀσθενὲς ἤδη τὸ Λακωνικὸν μοῦνον λείπε-
» ται. Ἢν δὲ ταῦτα μὴ ποιῇς, τάδε τοι προσδόκα ἔσεσθαι. Ἔςι τῆς
» Πελοποννήσου ἰσθμὸς στεινός· ἐν τούτῳ τῷ χώρῳ πάντων Πελο-
» ποννησίων συνομοσάντων ἐπὶ σοὶ μάχας ἰσχυροτέρας ἄλλας τῶν
» γενομένων προσδέκεο ἔσεσθαί τοι. Ἐκεῖνο δὲ ποιήσαντι ἀμαχητὶ
» ὅ, τε ἰσθμὸς οὗτος καὶ αἱ πόλις προσχωρήσουσι.» Λέγει μετὰ τοῦ-
τον Ἀχαιμένης, ἀδελφεός τε ἐὼν Ξέρξεω, καὶ τοῦ ναυτικοῦ στρατοῦ
ςρατηγὸς, παρατυχών τε τῷ λόγῳ, καὶ δείσας, μὴ ἀναγνωσθῇ Ξέρ-
ξης ποιέειν ταῦτα· «Ὦ βασιλεῦ, ὁρέω σε ἀνδρὸς ἐνδεκόμενον λόγους,
» ὃς φθονέει τοι εὖ πρήσσοντι, ἢ καὶ προδιδοῖ πρήγματα τὰ σά. Καὶ
» γὰρ δὴ καὶ τρόποισι τοιούτοισι χρεώμενοι οἱ Ἕλληνες χαίρουσι· τοῦ
» τε εὐτυχέειν φθονέουσι, καὶ τὸ κρέσσον ςυγέουσι. Εἰ δ' ἐπὶ τῇσι πα-
» ρεούσῃσι τύχῃσι, τῶν νέες νεναυηγήκασι τετρακόσιαι, ἄλλας ἐκ
» τοῦ στρατοπέδου τριηκοσίας ἀποπέμψεις περιπλώειν Πελοπόννη-
» σον, ἀξιόμαχοί τοι γίνονται οἱ ἀντίπαλοι· ἁλὴς δὲ ἐὼν ὁ ναυτικὸς
» στρατὸς, δυσμεταχείριςός τε αὐτοῖσι γίνεται, καὶ ἀρχὴν οὐκ ἀξιό-
» μαχοί τοι ἔσονται· καὶ πᾶς ὁ ναυτικὸς τῷ πεζῷ ἀρήξει, καὶ ὁ πε-
» ζὸς τῷ ναυτικῷ, ὁμοῦ πορευόμενος· εἰ δὲ διασπάσεις, οὔτε σὺ
» ἔσεαι κείνοισι χρήσιμος, οὔτε κεῖνοι σοί. Τὰ σεωυτοῦ δὲ τιθέμενος
» εὖ, γνώμην ἔχε τὰ τῶν ἀντιπολέμων μὴ ἐπιλέγεσθαι πρήγματα,
» τῇ τε στήσονται τὸν πόλεμον, τά τε ποιήσουσι, ὅσοι τε πλῆθός εἰσι.
» Ἱκανοὶ γὰρ ἐκεῖνοί γε αὐτοὶ ἑωυτῶν πέρι φροντίζειν εἰσὶ, ἡμεῖς δὲ
» ἡμέων ὡσαύτως. Λακεδαιμόνιοι δὲ, ἢν ἴωσι ἀντία Πέρσῃσι ἐς μά-
» χην, οὐδὲν τὸ παρεὸν τρῶμα ἀνιεῦνται.» Ἀμείβεται Ξέρξης τοῖσδε,
« Ἀχαίμενες, εὖ τέ μοι δοκέεις λέγειν, καὶ ποιήσω ταῦτα. Δημάρητος
» δὲ λέγει μὲν τὰ ἄριςα ἔλπεται εἶναι ἐμοὶ, γνώμῃ μέντοι ἑσσοῦται
» ὑπὸ σεῦ. Οὐ γὰρ δὴ ἐκεῖνό γε ἐνδέξομαι, ὅκως οὐκ εὐνοέει τοῖσι
» ἐμοῖσι πρήγμασι, τοῖσί τε λεγομένοισι πρότερον ἐκ τούτου ςαθμώ-
» μενος, καὶ τῷ ἐόντι, ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθο-
» νέει, καὶ ἔστι δυσμενὴς τῇ σιγῇ· οὐδ' ἂν, συμβουλευομένου τοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ἀστοῦ, πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο, εἰ
» μὴ πρόσω ἀρετῆς ἀνήκοι· σπάνιοι δ' εἰσὶ οἱ τοιοῦτοι· ξεῖνος δὲ
» ξείνῳ εὖ πρήσσοντί ἐςι εὐμενέςατον πάντων, συμβουλευομένου τε
» ἂν συμβουλεύσειε τὰ ἄριςα. Οὕτω ὦν κακολογίης πέρι τῆς ἐς Δη-
» μάρητον, ἐόντος ἐμοὶ ξείνου, ἔχεσθαί τινα τοῦ λοιποῦ κελεύω.»
Ταῦτα εἴπας Ξέρξης διεξήϊε διὰ τῶν νεκρῶν, καὶ Λεωνίδεω, ἀκηκο-
ὼς, ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, ἐκέλευε ἀπο-
ταμόντας τὴν κεφαλὴν ἀνασταυρῶσαι. Δῆλά μοι πολλοῖσι μὲν καὶ
ἄλλοισι τεκμηρίοισι, ἐν δὲ δὴ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βα-
σιλεὺς Ξέρξης πάντων δὴ μάλιςα ἀνδρῶν ἐθυμώθη ζῶοντι Λεωνίδῃ·
οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα παρενόμησε· ἐπεὶ τιμᾶν μάλι-
στα νομίζουσι τῶν ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ
πολέμια. Οἱ μὲν δὴ ταῦτα ἐποίευν, τοῖσι ἐπετέτακτο ποιέειν. Ἄνειμι
δὲ ἐκεῖσε τοῦ λόγου, τῇ μοι πρότερον ἐξέλιπε. Ἐπύθοντο Λακεδαι-
μόνιοι, ὅτι βασιλεὺς στέλλοιτο ἐπὶ τὴν Ἑλλάδα, πρῶτοι, καὶ οὕτω
δὴ ἐς τὸ χρηςήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν· ἔνθα δή σφι ἐχρήσθη,
τὰ ὀλίγῳ πρότερον εἶπον· ἐπύθοντο δὲ τρόπῳ θωυμασίῳ. Δημάρη-
τος γὰρ ὁ Ἀρίστωνος, φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ
οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι. Πάρεστι δὲ
εἰκάζειν, εἴτε εὐνοίῃ ταῦτα ἐποίησε, εἴτε καὶ καταχαίρων. Ἐπεί τε
γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι
ὁ Δημάρητος, καὶ πυθόμενος ταῦτα, ἠθέλησε Λακεδαιμονίοισι ἐξαγ-
γεῖλαι. Ἄλλως μὲν δὴ οὐκ εἶχε σημῆναι· ἐπικίνδυνον γὰρ ἦν, μὴ
λαμφθείη· ὁ δὲ μηχανᾶται τοιάδε. Δελτίον δίπτυχον λαβὼν, τὸν
κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτα ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε
τὴν βασιλέος γνώμην· ποιήσας δὲ ταῦτα, ὀπίσω ἐπέτηξε τὸν κηρὸν
ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα
παρέχοι πρὸς τῶν ὁδοφυλάκων. Ἐπεὶ δὲ καὶ ἀπίκετο ἐς τὴν Λακε-
δαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι,
ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ,
Γοργὼ, ὑπέθετο, ἐπιφρασθεῖσα αὐτὴ, τὸν κηρὸν κνᾷν κελεύουσα, καὶ
εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. Πειθόμενοι δὲ εὗρον. καὶ ἐπε-
λέξαντο, ἔπειτα δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν. Ταῦτα μὲν δὴ
οὕτω λέγεται γενέσθαι.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

## ΕΚ ΤΗΣ ΟΓΔΟΗΣ ΤΩΝ ΙΣΤΟΡΙΩΝ

# ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΗΟΣ

## ΕΠΙΓΡΑΦΟΜΕΝΗΣ ΟΥΡΑΝΙΑ.

Οἱ δὲ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες ἔσαν οἵδε· Ἀθηναῖοι μὲν, νέας παρεχόμενοι ἑκατὸν καὶ εἴκοσι καὶ ἑπτά· ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης Πλαταιέες, ἄπειροι τῆς ναυτικῆς ἐόντες, συνεπλήρουν τοῖσι Ἀθηναίοισι τὰς νέας· Κορίνθιοι δὲ, τεσσεράκοντα νέας παρείχοντο· Μεγαρέες δὲ, εἴκοσι· καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι, Ἀθηναίων παρεχόντων σφι τὰς νέας· Αἰγινῆται δὲ, ὀκτωκαίδεκα· Σικυώνιοι δὲ, δυοκαίδεκα· Λακεδαιμόνιοι δὲ, δέκα· Ἐπιδαύριοι δὲ, ὀκτώ· Ἐρετριέες δὲ, ἑπτά· Τροιζήνιοι δὲ, πέντε· Στυρέες δὲ, δύο· καὶ Κεῖοι δύο τε νέας καὶ πεντηκοντέρους δύο· Λοκροὶ δέ σφι οἱ Ὀπούντιοι ἐπεβώθεον πεντηκοντέρους ἔχοντες ἑπτά. Ἔσαν μὲν ὦν οὗτοι οἱ στρατευόμενοι ἐπ' Ἀρτεμίσιον· εἴρηται δέ μοι καὶ ὡς τὸ πλῆθος ἕκαστοι τῶν νεῶν παρείχοντο. Ἀριθμὸς δὲ τῶν συλλεχθεισέων νεῶν ἐπ' Ἀρτεμίσιον ἦν, πάρεξ τῶν πεντηκοντέρων, διηκόσιαι καὶ ἑβδομήκοντα καὶ μία. Τὸν δὲ στρατηγὸν τὸν τὸ μέγιστον κράτος ἔχοντα παρείχοντο Σπαρτιῆται, Εὐρυβιάδεα τὸν Εὐρυκλείδεω. Οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν, ἢν μὴ ὁ Λάκων ἡγεμονεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν τὸ μέλλον ἔσεσθαι στράτευμα. Ἐγένετο γὰρ κατ' ἀρχὰς λόγος, πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν ἐπὶ συμμαχίην, ὡς τὸ ναυτικὸν Ἀθηναίοισι χρεὼν εἴη ἐπιτρέπειν. Ἀντιβάντων δὲ τῶν συμμάχων, εἶκον οἱ Ἀθηναῖοι, μέγα πεποιημένοι περιεῖναι τὴν Ἑλλάδα, καὶ γνόντες, εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς ἀπολέεται ἡ Ἑλλάς, ὀρθὰ νοεῦντες. Στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν ἐστι, ὅσῳ πόλεμος εἰρήνης. Ἐπιστάμενοι ὦν αὐτὸ τοῦτο, οὐκ ἀντέτεινον, ἀλλ' εἶκον, μέχρι ὅσου κάρτα ἐδέοντο αὐτέων, ὡς διέδεξαν. Ὡς γὰρ διωσάμενοι τὸν Πέρσεα περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποιεῦντο, πρόφασιν τὴν Παυσανίεω ὕβριν προϊσχόμενοι, ἀπείλοντο τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο. Τότε δὲ οὗτοι οἱ καὶ ἐπ' Ἀρτεμίσιον Ἑλλήνων ἀπικόμενοι, ὡς εἶδον νέας τε πολλὰς καταχθείσας ἐς τὰς Ἀφέτας, καὶ στρατιῆς ἅπαντα πλέα, ἐπεὶ αὐτοῖσι παρὰ δόξαν τὰ πρήγματα τῶν βαρβάρων ἀπέβαινε ἢ ὡς αὐτοὶ κατεδόκεον, καταρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ῥωδήσαντες, δρησμὸν ἐβουλεύοντο ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς τὴν Ἑλλάδα. Γνόντες δέ σφεας οἱ Εὐβοέες ταῦτα βουλευομένους, ἐδέοντο Εὐρυβιάδεω προσμεῖναι χρόνον ὀλίγον, ἔς τ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκθέωνται. Ὡς δὲ οὐκ ἔπειθον, μεταβάντες, τὸν Ἀθηναίων ςρατηγὸν πείθουσι Θεμιςοκλέα ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι, ἐπ' ᾧ τε καταμείναντές πρὸ τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην. Ὁ δὲ Θεμιςοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει. Εὐρυβιάδῃ τουτέων τῶν χρημάτων μεταδιδοῖ πέντε τάλαντα, ὡς παρ' ἑωυτοῦ δῆθεν διδούς. Ὡς δέ οἱ οὗτος ἀνεπέπειστο, Ἀδείμαντος γὰρ ὁ Ὠκύτου, Κορινθίων ςρατηγός, τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλώσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου, καὶ οὐ παραμενέειν· πρὸς δὴ τοῦτον εἶπε ὁ Θεμιςοκλέης ἐπομόσας, «Οὐ σύ γε ἡμέας » ἀπολείψεις, ἐπεί τοι ἐγὼ μέζω δῶρα δώσω, ἢ βασιλεὺς ἄν τοι ὁ » Μήδων πέμψειε ἀπολιπόντι τοὺς συμμάχους.» Ταῦτά τε ἅμα ἠγόρευε, καὶ πέμπει ἐπὶ τὴν νέα τὴν Ἀδειμάντου τάλαντα ἀργυρίου τρία. Οὗτοί τε δὴ πληγέντες δώροισι, ἀναπεπεισμένοι ἔσαν, καὶ τοῖσι Εὐβοέεσι ἐκεχάριςο· αὐτός τε ὁ Θεμιςοκλέης ἐκέρδηνε, ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων· ἀλλ' ἠπιςέατο οἱ μεταλαβόντες τουτέων τῶν χρημάτων, ἐκ τῶν Ἀθηναίων ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ τὰ χρήματα. Οὕτω δὴ κατέμεινάν τε ἐν τῇ Εὐβοίῃ, καὶ ἐναυμάχησαν. Ἐγένετο δὲ ὧδε. Ἐπεί τε δὴ ἐς τὰς Ἀφέτας περὶ δείλην πρωΐην γενομένην ἀπίκατο οἱ βάρβαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον, περὶ τὸ Ἀρτεμίσιον ναυλοχέειν νέας Ἑλληνίδας ὀλίγας, τότε δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἔσαν ἐπιχειρέειν, εἴ κως ἕλοιεν αὐτάς· ἐκ μὲν δὴ τῆς ἀντίης προσπλώειν οὔκω σφι ἐδόκεε, τῶνδε εἵνεκα, μή κως ἰδόντες οἱ Ἕλληνες προσπλώοντας, ἐς φυγὴν ὁρμήσειαν, φεύγοντάς τε εὐφρόνη καταλάβῃ, ἢ καὶ ἔμελλον δῆθεν ἐκφεύξεσθαι. Ἔδει δὲ μηδὲ πυρφόρον, τῷ ἐκείνων λόγῳ, ἐκφυγόντα περιγενέσθαι. Πρὸς ταῦτα ὦν τάδε ἐμηχανέοντο. Τῶν νεῶν ἁπασέων ἀποκρίναντες διηκοσίας, περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ ὀφθέωσι ὑπὸ τῶν πολεμίων περιπλώουσαι Εὔβοιαν, κατά τε Καφηρέα καὶ Γεραιςὸν, ἐς τὸν Εὔριπον, ἵνα δὴ περιλάβοιεν, οἱ μὲν, ταύτῃ ἀπικόμενοι καὶ φράξαντες αὐτέων τὴν ὀπίσω φέρουσαν ὁδὸν. σφεῖς δὲ, ἐπισπόμενοι ἐξ ἐναντίης. Ταῦτα βουλευσάμενοι ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας. Αὐτοὶ οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι ἐπιθήσεσθαι, οὐδὲ πρότερον, ἢ τὸ σύνθημά σφι ἔμελλε φανήσεσθαι παρὰ τῶν περιπλωόντων ὡς ἡκόντων. Ταύτας μὲν δὴ περιέπεμπον· τῶν δὲ λοιπέων νεῶν ἐν τῇσι Ἀφέτῃσι ἐποιεῦντο ἀριθμόν. Ἐν δὲ τούτῳ τῷ χρόνῳ, ἐν ᾧ οὗτοι ἀριθμὸν ἐποιεῦντο τῶν νεῶν (ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ Σκυλλίης Σκιωναῖος, δύτης τῶν τότε ἀνθρώπων ἄριστος, ὃς καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον γενομένῃ πολλὰ μὲν ἔσωσε

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τῶν χρημάτων τοῖσι Πέρσησι, πολλὰ δὲ καὶ αὐτὸς περιεβάλετο), οὗτος ὁ Σκυλλίης ἐν νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον αὐτομολήσειν ἐς τοὺς Ἕλληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε, ὡς τότε. Ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν ἔτι ἀπίκετο ἐς τοὺς Ἕλληνας οὐκ ἔχω εἶπαι ἀτρεκέως· θωυμάζω δὲ, εἰ τὰ λεγόμενά ἐςι ἀληθέα. Λέγεται γὰρ, ὡς ἐξ Ἀφετέων δὺς ἐς τὴν θάλασσαν οὐ πρότερον ἀνέσχε, πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον, σταδίους μάλιστά κῃ τούτους ἐς ὀγδώκοντα διὰ τῆς θαλάσσης διεξελθών· λέγεται μέν νυν καὶ ἄλλα ψευδέσι εἴκελα περὶ τοῦ ἀνδρὸς τούτου· τὰ δὲ μετεξέτερα ἀληθέα. Περὶ μέντοι τούτου γνώμη μοι ἀποδεδέχθω, πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον. Ὡς δὲ ἀπίκετο, αὐτίκα ἐσήμηνε τοῖσι στρατηγοῖσι τήν τε ναυηγίην, ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας τῶν νεῶν περὶ Εὔβοιαν. Τοῦτο δὲ ἀκούσαντες οἱ Ἕλληνες λόγον σφὶ αὐτοῖσι ἐδίδοσαν· πολλῶν δὲ λεχθέντων, ἐνίκα, τὴν ἡμέρην ἐκείνην αὐτοῦ μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτα νύκτα μέσην παρέντας, πορεύεσθαι, καὶ ἀπαντᾷν τῇσι περιπλωούσῃσι τῶν νηῶν. Μετὰ δὲ τοῦτο, ὡς οὐδείς σφι ἐπέπλωε, δείλην ὀψίην γινομένην τῆς ἡμέρης φυλάξαντες, αὐτοὶ ἐπανέπλωον ἐπὶ τοὺς βαρβάρους ἀπόπειραν αὐτέων ποιήσασθαι βουλόμενοι τῆς τε μάχης καὶ τοῦ διεκπλόου. Ὁρέοντες δέ σφεας οἵ τε ἄλλοι ςρατιῶται οἱ Ξέρξεω καὶ οἱ ςρατηγοὶ ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην ἐπενείκαντες, ἀνῆγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν· οἰκότα κάρτα ἐλπίσαντες. Τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας, τὰς δὲ ἑωυτῶν πλήθεΐ τε πολλαπλασίας καὶ ἄμεινον πλωούσας, καταφρονήσαντες ταῦτα, ἐκυκλοῦντο αὐτοὺς ἐς μέσον. Ὅσοι μέν νυν τῶν Ἰώνων ἔσαν εὔνοοι τοῖσι Ἕλλησι, ἀέκοντές τε ἐςρατεύοντο, συμφορήν τε ἐποιεῦντο μεγάλην, ὁρέοντες περιεχομένους αὐτοὺς, καὶ ἐπιστάμενοι, ὡς οὐδεὶς αὐτέων ἀπονοστήσει· οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν Ἑλλήνων πρήγματα. Ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν τὸ γινόμενον, ἅμιλλαν ἐποιεῦντο, ὅκως αὐτὸς ἕκαςος πρῶτος νέα Ἀττικὴν ἑλὼν δῶρα παρὰ βασιλῆος λάμψεται. Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖστος ἀνὰ τὰ στρατόπεδα. Τοῖσι δὲ Ἕλλησι ὡς ἐσήμηνε, πρῶτα μὲν, ἀντίπρωροι τοῖσι βαρβάροισι γενόμενοι, ἐς τὸ μέσον τὰς πρύμνας συνήγαγον· δεύτερα δε σημήναντος, ἔργου εἴχοντο, ἐν ὀλίγῳ περ ἀπολαμφθέντες, καὶ κατὰ στόμα. Ἐνθαῦτα τριήκοντα νέας αἱρέουσι τῶν βαρβάρων, καὶ τὸν Γόργου τοῦ Σαλαμινίων βασιλῆος ἀδελφεὸν Φιλάονα τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ ςρατοπέδῳ ἄνδρα. Πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης Αἰσχρέου, καὶ τὸ ἀριστήϊον ἔλαβε οὗτος. Τοὺς δ' ἐν τῇ ναυμαχίῃ ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους νὺξ ἐπελθοῦσα διέλυσε. Οἱ μὲν δὴ Ἕλληνες ἐπὶ τὸ Ἀρτεμίσιον ἀπέπλωον, οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφέτας, πολλὸν παρὰ δόξαν ἀγωνισάμενοι. Ἐν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ταύτῃ τῇ ναυμαχίῃ Ἀντίδωρος Λήμνιος μοῦνος τῶν σὺν βασιλέϊ Ἑλλήνων ἐόντων αὐτομολέει ἐς τοὺς Ἕλληνας· καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον ἔδοσαν αὐτῷ χῶρον ἐν Σαλαμῖνι. Ὡς δὲ εὐφρόνη ἐγεγόνεε, ἦν μὲν τῆς ὥρης μέσον θέρος, ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον διὰ πάσης τῆς νυκτὸς, καὶ βρονταὶ σκληραὶ ἀπὸ τοῦ Πηλίου· οἱ δὲ νεκροὶ καὶ τὰ ναυήγια ἐξεφορέοντο ἐς τὰς Ἀφέτας, καὶ περί τε τὰς πρώρας τῶν νεῶν εἱλέοντο, καὶ ἐτάρασσον τοὺς ταρσοὺς τῶν κωπέων. Οἱ δὲ στρατιῶται οἱ ταύτῃ ἀκούοντες ταῦτα ἐς φόβον κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι, ἐς οἷα κακὰ ἧκον· πρὶν γὰρ ἢ καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ γενομένου κατὰ Πήλιον, ὑπέλαβε ναυμαχίη κρατερή· ἐκ δὲ τῆς ναυμαχίης ὄμβρος τε λάβρος, καὶ ῥεύματα ἰσχυρὰ ἐς θάλασσαν ὡρμημένα, βρονταί τε σκληραί. Καὶ τούτοισι μὲν τοιαύτη νὺξ ἐγίνετο. Τοῖσι δὲ ταχθεῖσι αὐτέων περιπλώειν Εὔβοιαν ἡ αὐτή περ ἐοῦσα νὺξ πολλὸν ἦν ἔτι ἀγριωτέρη, τοσούτῳ, ὅσῳ ἐν πελάγεϊ φερομένοισι ἐπέπιπτε. Καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο, ἐοῦσι κατὰ τὰ Κοῖλα τῆς Εὐβοίης, φερόμενοι τῷ πνεύματι, καὶ οὐκ εἰδότες τῇ ἐφέροντο, ἐξέπιπτον πρὸς τὰς πέτρας. Ἐποιέετό τε πᾶν ὑπὸ θεοῦ, ὅκως ἂν ἐξισωθείη τῷ Ἑλληνικῷ τὸ Περσικὸν, μηδὲ πολλῷ πλέον εἴη. Οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διεφθείροντο. Οἱ δὲ ἐν Ἀφέτῃσι βάρβαροι, ὥς σφι ἀσμένοισι ἡμέρη ἐπέλαμψε, ἀτρέμας τε εἶχον τὰς νέας, καί σφι ἀπεχρέετο κακῶς πρήσσουσι ἡσυχίην ἄγειν ἐν τῷ παρεόντι. Τοῖσι δὲ Ἕλλησι ἐπεβώθεον νέες τρεῖς καὶ πεντήκοντα Ἀττικαί. Αὗταί τε δή σφεας ἐπέῤῥωσαν ἀπικόμεναι, καὶ ἅμα ἀγγελίη ἐλθοῦσα, ὡς τῶν βαρβάρων οἱ περιπλώοντες τὴν Εὔβοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου χειμῶνος. Φυλάξαντες δὲ τὴν αὐτὴν ὥρην, πλώοντες ἐπέπεσον νηυσὶ Κιλίσσῃσι· ταύτας δὲ διαφθείραντες, ὡς εὐφρόνη ἐγένετο, ἐπέπλωον ὀπίσω ἐπὶ τὸ Ἀρτεμίσιον. Τρίτῃ δὲ ἡμέρῃ δεινόν τι ποιησάμενοι οἱ στρατηγοὶ τῶν βαρβάρων, νέας οὕτω σφι ὀλίγας λυμαίνεσθαι, καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες, οὐκ ἀνέμειναν ἔτι τοὺς Ἕλληνας μάχης ἄρξαι, ἀλλὰ παρακελευσάμενοι, κατὰ μέσον ἡμέρης ἀνῆγον τὰς νέας. Συνέπιπτε δὲ, ὥστε ταῖς αὐταῖς ἡμέραις τὰς ναυμαχίας γίγνεσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι. Ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασσαν περὶ τοῦ Εὐρίπου, ὥσπερ τοῖσι ἀμφὶ Λεωνίδεα, τὴν ἐσβολὴν φυλάσσειν. Οἱ μὲν δὴ παρεκελεύοντο, ὅκως μὴ παρήσουσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους, οἱ δ' ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες, τοῦ πόρου κρατήσουσι. Ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρτεμισίῳ. Οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν νεῶν, ἐκυκλέοντο, ὡς περιλάβοιεν αὐτούς. Ἐνθεῦτεν οἱ Ἕλληνες

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐπανέπλωόν τε καὶ συνέμισγον. Ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγένοντο. Ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ πλήθεος αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, ταρασσομενέων τε τῶν νεῶν καὶ περιπιπτουσέων περὶ ἀλλήλας· ὅμως μέντοι ἀντεῖχε, καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα ἐποιεῦντο, ὑπὸ νεῶν ὀλίγων ἐς φυγὴν τραπέσθαι. Πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολλοὶ δὲ ἄνδρες· πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν βαρβάρων καὶ ἄνδρες· οὕτω δὲ ἀγωνιζόμενοι, διέστησαν χωρὶς ἑκάτεροι. Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν· οἳ ἄλλα τε μεγάλα ἔργα ἀπεδέξαντο, καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνίδας πέντε. Τῶν δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Κλεινίης ὁ Ἀλκιβιάδεω· ὃς δαπάνην οἰκηΐην παρεχόμενος ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι καὶ οἰκηΐῃ νηΐ. Ὡς δὲ διέστησαν ἄσμενοι ἑκάτεροι, ἐς ὅρμον ἠπείγοντο. Οἱ δὲ Ἕλληνες, ὡς διακριθέντες ἐκ τῆς ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν καὶ τῶν ναυηγίων ἐπεκράτεον, τρηχέως δὲ περιεφθέντες, καὶ οὐκ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἔσαν, δρησμὸν δὴ ἐβουλεύοντο ἔσω ἐς τὴν Ἑλλάδα. Νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης, ὡς εἰ ἀποῤῥαγείη ἀπὸ τοῦ βαρβαρικοῦ τό, τε Ἰωνικὸν καὶ τὸ Καρικὸν φῦλον, οἷοί τε εἴησαν τῶν λοιπῶν κατύπερθε γενέσθαι, ἐλαυνόντων τῶν Εὐβοέων πρόβατα ἐπὶ τὴν θάλασσαν, ταύτῃ συλλέξας τοὺς στρατηγοὺς, ἔλεγέ σφι, ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τῶν βασιλῆος συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. Ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου. Ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε ποιητέα εἶναί σφι ἔλεγε· τῶν τε προβάτων τῶν Εὐβοεϊκῶν ὅσα τις ἐθέλοι καταθύειν· κρέσσον γὰρ εἶναι τὴν στρατιὴν ἔχειν ἢ τοὺς πολεμίους· παραίνεέ τε προειπεῖν τοῖσι ἑωυτῶν ἑκάστους πῦρ ἀνακαίειν· κομιδῆς δὲ πέρι, τὴν ὥρην αὐτῷ μελήσειν, ὥστε ἀσινέας ἀπικέσθαι ἐς τὴν Ἑλλάδα. Ταῦτα ἤρεσέ σφι ποιέειν· καὶ αὐτίκα πῦρ ἀνακαυσάμενοι, ἐτράποντο πρὸς τὰ πρόβατα. Οἱ γὰρ Εὐβοέες, παραχρησάμενοι τὸν Βάκιδος χρησμὸν ὡς οὐδὲν λέγοντα, οὔτε τι ἐξεκομίσαντο οὐδὲν, οὔτε προεσάξαντο, ὡς παρεσομένου σφι πολέμου, περιπετέα τε ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. Βάκιδι γὰρ ὧδε ἔχει περὶ τουτέων ὁ χρησμός,

Φράζεο, βαρβαρόφωνος ὅταν ζυγὸν ἐς ἅλα βάλλῃ
Βύβλινον, Εὐβοίης ἀπέχειν πολυμηκάδας αἶγας.

Τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι τότε παρεοῦσί τε καὶ προσδοκίμοισι κακοῖσι, παρῆν σφι συμφορῇ χρῆσθαι πρὸς τὰ μέγιστα. Οἱ μὲν δὴ ταῦτα ἔπρησσον, παρῆν δὲ ὁ ἐκ Τρηχῖνος κατάσκοπος. Ἦν μὲν γὰρ ἐπ' Ἀρτεμισίῳ κατάσκοπος Πολύας, γένος Ἀντι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

κυρεὺς, τῷ προςετέτακτο, (καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον), εἰ παλήσειε ὁ ναυτικὸς στρατὸς, σημαίνειν τοῖσι ἐν Θερμοπύλῃσι ἐοῦσι· ὡς δ' αὔτως ἦν Ἀβρώνυχος ὁ Λυσικλέος Ἀθηναῖος καὶ παρὰ Λεωνίδῃ ἑτοῖμος τοῖσι ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι καταλαμβάνῃ νεώτερον τὸν πεζόν. Οὗτος ὦν ὁ Ἀβρώνυχος ἀπικόμενος ἐσήμαινέ σφι τὰ γεγονότα περὶ Λεωνίδεα καὶ τὸν στρατὸν αὐτοῦ. Οἱ δὲ, ὡς ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς ἐποιεῦντο τὴν ἀποχώρησιν, ἐκομίζοντο δὲ, ὡς ἕκαστοι ἐτάχθησαν· Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι. Ἀθηναίων δὲ νέας τὰς ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστοκλέης, ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐντάμνων ἐν τοῖσι λίθοισι γράμματα, τὰ Ἴωνες ἐπελθόντες τῇ ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον ἐπελέξαντο. Τὰ δὲ γράμματα τάδε ἔλεγε· « Ἄνδρες Ἴωνες, οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πατέρας στρατευόμενοι, » καὶ τὴν Ἑλλάδα καταδουλούμενοι· ἀλλὰ μάλιστα μὲν πρὸς ἡμέων » γίνεσθαι· εἰ δὲ ὑμῖν ἐστι τοῦτο μὴ δυνατὸν ποιῆσαι, ὑμέες δὲ ἔτι » καὶ νῦν ἐκ τοῦ μέσου ἡμῖν ἕζεσθε καὶ αὐτοὶ, καὶ τῶν Καρῶν δέ» εσθε τὰ αὐτὰ ὑμῖν ποιέειν· εἰ δὲ μηδέτερον τουτέων οἷόν τε γίνε» σθαι, ἀλλ' ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε ἢ ὥστε ἀπίστασθαι, » ὑμέες γε ἐν τῷ ἔργῳ, ἐπεὰν συμμίσγωμεν, ἐθελοκακέετε, μεμνη» μένοι ὅτι ἀπ' ἡμέων γεγόνατε, καὶ ὅτι ἀρχῆθεν ἡ ἔχθρη πρὸς τὸν » βάρβαρον ἀπ' ὑμέων ἡμῖν γέγονε. » Θεμιστοκλέης δὲ ταῦτα ἔγραψε, δοκέειν ἐμοὶ, ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλῆα Ἴωνας ποιήσῃ μεταβαλέειν καὶ γενέσθαι πρὸς ἑωυτῶν, ἢ, ἐπεί τε ἀνενειχθῇ, καὶ διαβληθῇ πρὸς Ξέρξεα, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας, καὶ τῶν ναυμαχιέων αὐτοὺς ἀπόσχῃ. Θεμιστοκλέης μέν νυν ταῦτα ἐνέγραψε. Τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἱστιαιεὺς, ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. Οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νῆας δὲ ταχείας ἀπέστειλαν προκατοψομένας. Ἀπαγγειλάντων δὲ τουτέων τὰ ἦν, οὕτω δὴ ἅμα ἡλίῳ σκιδναμένῳ πᾶσα ἡ στρατιὴ ἔπλωε ἁλὴς ἐπὶ τὸ Ἀρτεμίσιον. Ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου ἡμέρης, τὸ ἀπὸ τούτου ἔπλωον ἐς Ἱστιαίην. Ἀπικόμενοι δὲ, τὴν πόλιν ἔσχον τῶν Ἱστιαιέων, καὶ τῆς Ἑλλοπίης μοίρης, γῆς δὲ τῆς Ἱστιαιήτιδος τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον. Ἐνθαῦτα δὲ τουτέων ἐόντων, Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς νεκροὺς, ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα· προετοιμάσατο δὲ τάδε. Ὅσοι τοῦ στρατοῦ τοῦ ἑωυτοῦ ἔσαν νεκροὶ ἐν Θερμοπύλῃσι, (ἔσαν δὲ καὶ δύο μυριάδες), ὑπολιπόμενος τουτέων ὡς χιλίους, τοὺς λοιποὺς, τάφρους ὀρυξάμενος, ἔθαψε, φυλλάδα τε ἐπιβαλὼν, καὶ γῆν ἐπαμησάμενος, ἵνα μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ. Ὡς δὲ διέβη ἐς τὴν Ἱστιαίην ὁ κήρυξ, σύλλογον ποιησάμενος παντὸς τοῦ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική
Βιβλιοθήκη Ιωαννίνων

στρατοπέδου, ἔλεγε τάδε· « Ἄνδρες σύμμαχοι, βασιλεὺς Ξέρξης τῷ » βουλομένῳ ὑμέων παραδίδωσι, ἐκλιπόντα τὴν τάξιν καὶ ἐλθόντα » θεήσασθαι, ὅκως μάχεται πρὸς τοὺς ἀνοήτους τῶν ἀνθρώπων, οἳ » ἤλπισαν τὴν βασιλῆος δύναμιν ὑπερβαλέεσθαι. » Ταῦτα ἐπαγγειλαμένου, μετὰ ταῦτα οὐδὲν ἐγίνετο πλοίων σπανιώτερον· οὕτω πολλοὶ ἤθελον θεήσασθαι. Διαπεραιωθέντες δὲ ἠθηεῦντο διεξιόντες τοὺς νεκρούς· πάντες δὲ ἠπιστέατο, τοὺς κειμένους εἶναι πάντας Λακεδαιμονίους καὶ Θεσπιέας, ὁρέοντες καὶ τοὺς εἵλωτας. Οὐ μὲν οὐδ' ἐλάνθανε τοὺς διαβεβηκότας Ξέρξης ταῦτα πρήξας περὶ τοὺς νεκροὺς τοὺς ἑωυτοῦ· καὶ γὰρ δὴ καὶ γελοῖον ἦν· τῶν μὲν χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι, οἱ δὲ πάντες ἐκέατο ἁλέες συγκεκομισμένοι ἐς τὠυτὸ χωρίον, τέσσερες χιλιάδες. Ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην ἐτράποντο· τῇ δ' ὑστεραίῃ οἱ μὲν ἀπέπλωον ἐς Ἱστιαίην ἐπὶ τὰς νῆας, οἱ δὲ ἀμφὶ Ξέρξεα ἐς ὁδὸν ὁρμέατο. Ἧκον δέ σφι αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης ὀλίγοι τινὲς, βίου τε δεόμενοι, καὶ ἐνεργοὶ βουλόμενοι εἶναι. Ἀγαγόντες δὲ τούτους ἐς ὄψιν τὴν βασιλῆος, ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων, τὰ ποιέοιεν· εἷς δέ τις πρὸ πάντων ἦν ὁ εἰρωτέων αὐτοὺς ταῦτα. Οἱ δέ σφι ἔλεγον, ὡς Ὀλύμπια ἄγοιεν, καὶ θεωρέοιεν ἀγῶνα γυμνικὸν καὶ ἱππικόν. Ο δὲ ἐπείρετο, ὅ, τι τὸ ἄεθλον εἴη σφι κείμενον, περὶ ὅτευ ἀγωνίζονται· οἱ δ' εἶπον τῆς ἐλαίης τὸν διδόμενον στέφανον. Ἐνθαῦτα εἴπας γνώμην γενναιοτάτην Τριτανταίχμης ὁ Ἀρταβάνου δειλίην ὦφλε πρὸς βασιλῆος. Πυνθανόμενος γὰρ τὸ ἄεθλον ἐὸν στέφανον, ἀλλ' οὐ χρήματα, οὔτε ἠνέσχετο σιγῶν, εἶπέ τε ἐς πάντας τάδε· « Παπαὶ Μαρδόνιε, κοίους ἐπ' ἄνδρας ἤγα» γες μαχεσομένους ἡμέας, οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποι» εῦνται, ἀλλὰ περὶ ἀρετῆς! » τούτῳ μὲν δὴ ταῦτα εἴρητο. Ἐν δὲ τῷ διὰ μέσου χρόνῳ, ἐπεί τε τὸ ἐν Θερμοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμπουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι ἐνέχοντες αἰεὶ χόλον, ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα. Ἐσβαλόντες γὰρ πανστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι αὐτέων ἐς τοὺς Φωκέας, οὐ πολλοῖσι ἔτεσι πρότερον ταύτης τῆς βασιλῆος στρατηλασίης, ἑσσώθησαν ὑπὸ τῶν Φωκέων, καὶ περιέφθησαν τρηχέως. Ἐπεί τε γὰρ κατειλήθησαν ἐς τὸν Παρνησσὸν οἱ Φωκέες, ἔχοντες μάντιν Τελλίην τὸν Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι τοιόνδε. Γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων τοὺς ἀρίστους, αὐτούς τε τούτους καὶ τὰ ὅπλα αὐτέων, νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι· προείπας αὐτοῖσι, τὸν ἂν μὴ λευκανθίζοντα ἴδωνται, τοῦτον κτείνειν. Τούτους ὦν αἵ τε φυλακαὶ τῶν Θεσσαλῶν πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι τέρας, καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιὴ οὕτω, ὥστε τετρακισχιλίων κρατῆσαι νεκρῶν καὶ ἀσπίδων Φωκέας· τῶν τὰς μὲν ἡμισέας ἐς Ἄβας ἀνέθεσαν, τὰς δὲ ἐς Δελφούς· ἡ δὲ δεκάτη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐγένετο τῶν χρημάτων ἐκ ταύτης τῆς μάχης οἱ μεγάλοι ἀνδριάντες οἱ περὶ τὸν τρίποδα συνεστεῶτες ἔμπροσθεν τοῦ νηοῦ τοῦ ἐν Δελφοῖσι, καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι ἀνακέαται. Ταῦτα μέν νυν τὸν πεζὸν ἐργάσαντο τῶν Θεσσαλῶν οἱ Φωκέες, πολιορκέοντας ἑωυτούς· ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν ἵππον αὐτέων ἐλυμήναντο ἀνηκέστως. Ἐν γὰρ τῇ ἐσβολῇ, ἥ ἐστι κατὰ Ὑάμπολιν, ἐν ταύτῃ τάφρον μεγάλην ὀρύξαντες, ἀμφορέας κοινοὺς ἐς αὐτὴν κατέθηκαν· χοῦν δὲ ἐπιφορήσαντες, καὶ ὁμοιώσαντες τῷ ἄλλῳ χώρῳ, ἐδέκοντο τοὺς Θεσσαλοὺς ἐσβάλλοντας. Οἱ δὲ, ὡς ἀναρπασόμενοι τοὺς Φωκέας, φερόμενοι ἐσέπεσον ἐς τοὺς ἀμφορέας. Ἐνθαῦτα οἱ ἵπποι τὰ σκέλεα διεφθάρησαν. Τουτέων δή σφι ἀμφοτέρων ἔχοντες ἔγκοτον οἱ Θεσσαλοὶ, πέμψαντες κήρυκα, ἠγόρευον τάδε, « Ὦ Φωκέες, ἤδη τι μᾶλλον γνωσιμαχέετε μὴ εἶναι » ὅμοιοι ἡμῖν. Πρόσθεν τε γὰρ ἐν τοῖσι Ἕλλησι, ὅσον χρόνον ἐκεῖνα » ἡμῖν ἥνδανε, πλέον αἰεί κοτε ὑμέων ἐφερόμεθα· νῦν τε παρὰ τῷ » βαρβάρῳ τοσοῦτον δυνάμεθα, ὥστε ἐπ' ἡμῖν ἐστι τῆς γῆς τε ἐστε- » ρῆσθαι καὶ πρὸς ἠνδραποδίσθαι ὑμέας· ἡμέες μέντοι, τὸ πᾶν ἔχον- » τες, οὐ μνησικακέομεν, ἀλλ' ἡμῖν γενέσθω ἀντ' αὐτέων πεντήκοντα » τάλαντα ἀργυρίου· καὶ ὑμῖν ὑποδεκόμεθα τὰ ἐπιόντα ἐπὶ τὴν » χώρην ἀποτρέψειν. » Ταῦτά σφι ἐπαγγέλλοντο οἱ Θεσσαλλοί. Οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες. Ταῦτα ἐπαγγελλομένων Θεσσαλῶν, οὔτε δώσειν ἔφασαν χρήματα, παρέχειν τέ σφι Θεσσαλοῖσι ὁμοίως μηδίζειν εἰ ἄλλως βουλοίατο· ἀλλ' οὐκ ἔσεσθαι ἑκόντες εἶναι προδόται τῆς Ἑλλάδος. Ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ κεχολωμένοι τοῖσι Φωκεῦσι, ἐγένοντο ἡγεμόνες τῷ βαρβάρῳ τῆς ὁδοῦ. Ἐκ μὲν δὴ τῆς Τρηχινίης ἐς τὴν Δωρίδα ἐσέβαλον. Τῆς γὰρ Δωρίδος χώρης ποδεὼν στεινὸς ταύτῃ κατατείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κείμενος μεταξὺ τῆς τε Μηλίδος καὶ τῆς Φωκίδος χώρης, ἥπερ ἦν τὸ παλαιὸν Δρυοπίς· ἡ δὲ χώρη αὕτη ἐστὶ μητρόπολις Δωριέων τῶν ἐν Πελοποννήσῳ. Ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο ἐσβάλλοντες οἱ βάρβαροι· ἐμήδιζόν τε γὰρ, καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι. Ὡς δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα ἐσέβαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι. Οἱ μὲν γὰρ τῶν Φωκέων ἐς τὰ ἄκρα τοῦ Παρνησσοῦ ἀνέβησαν· ἔστι δὲ καὶ ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ Παρνησσοῦ ἡ κορυφὴ, κατὰ Νέωνα πόλιν κειμένη, ἐπ' ἑωυτῆς· Τιθορέα οὔνομα αὐτῇ· ἐς τὴν δὴ ἀνηνείκαντο, καὶ αὐτοὶ ἀνέβησαν· οἱ δὲ πλεῦνες αὐτέων ἐς τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο, ἐς Ἄμφισσαν πόλιν τὴν ὑπὸ τοῦ Κρισαίου πεδίου κειμένην. Οἱ δὲ βάρβαροι τὴν χώρην πᾶσαν ἐπέδραμον τὴν



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Θεσσαλοὶ γὰρ οὕτω ἦγον τὸν στρατόν· ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον καὶ ἔκειρον, καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ καὶ ἐς τὰ ἱρά. Πορευόμενοι γὰρ ταύτῃ παρὰ τὸν Κηφισσὸν ποταμὸν ἐδηΐουν πάντα· καὶ κατὰ μὲν ἔκαυσαν Δρύμον πόλιν, κατὰ δὲ Χαράδρην, καὶ Ἔρωχον, καὶ Τεθρώνιον, καὶ Ἀμφίκαιαν, καὶ Νέωνα, καὶ Πεδιέας, καὶ Τριτέας, καὶ Ἐλάτειαν, καὶ Ὑάμπολιν, καὶ Παραποταμίους, καὶ Ἄβας, ἔνθα ἦν ἱρὸν Ἀπόλλωνος πλούσιον, θησαυροῖσί τε καὶ ἀναθήμασι πολλοῖσι κατεσκευασμένον· ἦν δὲ καὶ τότε καὶ νῦν ἐστι χρηστήριον αὐτόθι· καὶ τοῦτο τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν. Καί τινας διώκοντες εἷλον τῶν Φωκέων πρὸς τοῖσι οὔρεσι· καὶ γυναῖκάς τινας διέφθειραν μισγόμενοι ὑπὸ πλήθεος. Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι ἀπίκοντο ἐς Πανοπέας. Ἐνθεῦτεν δὲ ἤδη διακρινομένη ἡ στρατιὴ αὐτέων ἐσχίζετο. Τὸ μὲν πλεῖστον καὶ δυνατώτατον τοῦ στρατοῦ, ἅμα αὐτῷ Ξέρξῃ πορευόμενον ἐπ' Ἀθήνας, ἐσέβαλε ἐς Βοιωτοὺς ἐς γῆν τῶν Ὀρχομενίων. Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος ἐμήδιζε· τὰς δὲ πόλις αὐτέων ἄνδρες Μακεδόνες διατεταγμένοι ἔσωζον, ὑπὸ Ἀλεξάνδρου ἀποπεμφθέντες· ἔσωζον δὲ, τῇδε βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ, ὅτι τὰ Μήδων Βοιωτοὶ φρονέοιεν. Οὗτοι μὲν δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο. Ἄλλοι δὲ αὐτέων, ἡγεμόνας ἔχοντες, ὁρμέατο ἐπὶ τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, ἐν δεξιῇ τὸν Παρνησσὸν ἀπέργοντες. Ὅσα δὲ καὶ οὗτοι ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσιναμώρεον· καὶ γὰρ τῶν Πανοπέων τὴν πόλιν ἐνέπρησαν, καὶ Δαυλίων, καὶ Αἰολιδέων. Ἐπορεύοντο δὲ ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς τῶνδε εἵνεκα, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, βασιλέϊ Ξέρξῃ ἀποδέξαιεν τὰ χρήματα. Πάντα δ' ἐπίστατο τὰ ἐν τῷ ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης, ὡς ἐγὼ πυνθάνομαι, ἄμεινον ἢ τὰ ἐν τοῖσι οἰκίοισι ἔλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μάλιστα τὰ Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα. Οἱ Δελφοὶ δὲ, πυνθανόμενοι ταῦτα, ἐς πᾶσαν ἀῤῥωδίην ἀπίκατο· ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημάτων, εἴτε σφέα κατὰ γῆς κατορύξουσι, εἴτε ἐκκομίσουσι ἐς ἄλλην χώρην. Ὁ δὲ θεός σφεας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς εἶναι τῶν ἑωυτοῦ προκατῆσθαι. Δελφοὶ δὲ, ταῦτα ἀκούσαντες, σφέων αὐτέων πέρι ἐφρόντιζον. Τέκνα μέν νυν καὶ γυναῖκας πέρην ἐς τὴν Ἀχαιΐην διέπεμψαν· αὐτέων δὲ οἱ μὲν πλεῖστοι ἀνέβησαν ἐς τοῦ Παρνησσοῦ τὰς κορυφὰς, καὶ ἐς τὸ Κωρύκιον ἄντρον ἀνηνείκαντο· οἱ δὲ ἐς Ἄμφισσαν τὴν Λοκρίδα ὑπεξῆλθον. Πάντες δὲ ὦν οἱ Δελφοὶ ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν καὶ τοῦ προφήτεω. Ἐπεὶ δὲ ἀγχοῦ τε ἔσαν οἱ βάρβαροι ἐπιόντες, καὶ ἀπώρεον τὸ ἱρὸν, ἐν τούτῳ ὁ προφήτης, τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ τοῦ νηοῦ ὅπλα προκείμενα ἔσωθεν ἐκ τοῦ μεγάρου ἐξενηνειγμένα ἱρὰ, τῶν οὐκ ὅσιον ἦν ἅπτεσθαι ἀνθρώπων οὐδενί. Ὁ μὲν δὴ ἤιε Δελφῶν τοῖσι

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

παρεοῦσι σημανέων τὸ τέρας. Οἱ δὲ βάρβαροι, ἐπειδὴ ἐγίνοντο ἐπειγόμενοι κατὰ τὸ ἱρὸν τῆς Προνηΐης Ἀθηναίης, ἐπιγίνεταί σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν γενομένου τέρεος· Θῶυμα μὲν γὰρ καὶ τοῦτο κάρτα ἐςὶ, ὅπλα ἀρήϊα αὐτόματα φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ· τὰ δὲ δὴ ἐπὶ τούτῳ δεύτερα ἐπιγενόμενα καὶ διὰ πάντων φασμάτων ἄξια θωυμάσαι μάλιστα. Ἐπεὶ γὰρ δὴ ἔσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς Προναίης Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ οὐρανοῦ κεραυνοὶ αὐτοῖσι ἐνέπιπτον, ἀπὸ δὲ τοῦ Παρνησσοῦ ἀποῤῥαγεῖσαι δύο κορυφαὶ ἐφέροντο πολλῷ πατάγῳ ἐς αὐτοὺς, καὶ κατέλαβον συχνούς σφεων, ἐκ δὲ τοῦ ἱροῦ τῆς Προναίης βοή τε καὶ ἀλαλαγμὸς ἐγένετο. Συμμιγέντων δὲ τουτέων πάντων, φόβος τοῖσι βαρβάροισι ἐνεπεπτώκεε. Μαθόντες δὲ οἱ Δελφοὶ φεύγοντάς σφεας, ἐπικαταβάντες, ἀπέκτειναν πλῆθός τι αὐτέων. Οἱ δὲ περιεόντες ἰθὺ Βοιωτῶν ἔφευγον. Ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι καὶ ἄλλα ὥρων θεῖα· δύο γὰρ ὁπλίτας μέζονας ἢ κατὰ ἀνθρώπων φυσιν ἐόντας ἕπεσθαί σφι κτείνοντας καὶ διώκοντας. Τούτους δὲ τοὺς δύο Δελφοὶ λέγουσι ἐπιχωρίους ἥρωας εἶναι, Φυλακόν τε καὶ Αὐτόνοον, τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρόν· Φυλάκου μὲν παρ αὐτὴν τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προναίης, Αὐτονόου δὲ πέλας τῆς Κασταλίης, ὑπὸ τῇ Ὑαμπείῃ κορυφῇ. Οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησσοῦ λίθοι ἔτι καὶ ἐς ἡμέας ἔσαν σόοι, ἐν τῷ τεμένεϊ τῆς Προναίης Ἀθηναίης κείμενοι, ἐς τὸ ἐνέσκηψαν διὰ τῶν βαρβάρων φερόμενοι. Τουτέων μέν νυν τῶν ἀνδρῶν αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλλαγὴ γίνεται. Ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου, Ἀθηναίων δεηθέντων, ἐς Σαλαμῖνα κατίσχει τὰς νῆας. Τῶνδε εἵνεκα προσεδεήθησαν αὐτέων σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ ποιητέον αὐτοῖσι ἔσται. Ἐπὶ γαρ τοῖσι κατηκουσι πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι, ὡς ἐψευσμένοι γνώμης. Δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν μὲν εὗρον οὐδὲν ἐὸν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας, τὴν Πελοπόννησον περὶ πλείστου τε ποιευμένους περιεῖναι, καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τὰ δὲ ἄλλα ἀπιέναι. Ταῦτα δὴ πυνθανόμενοι οὕτω προσεδεήθησάν σφεων σχεῖν πρὸς τὴν Σαλαμῖνα. Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. Μετὰ δὲ τὴν ἄπιξιν κήρυγμα ἐποιήσαντο, Ἀθηναίων τῇ τις δύναται σώζειν τὰ τέκνα τε καὶ τοὺς οἰκέτας. Ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. Ἔσπευσαν δὴ ταῦτα ὑπεκθέσθαι, τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν, καὶ δὴ καὶ τοῦδε εἵνεκα οὐκ ἥκιστα. Λέγουσι οἱ Ἀθηναῖοι ὄφιν μέγαν φύλακα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τῆς ἀκροπόλιος ἐνδιαιτέεσθαι ἐν τῷ ἱρῷ. Λέγουσί τε ταῦτα, καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δὲ ἐπιμήνια μελιτόεσσά ἐστι· αὕτη δ᾽ ἡ μελιτόεσσα, ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀνεσιμουμένη, τότε ἦν ἄψαυστος. Σημηνάσης δὲ ταῦτα τῆς ἱρείης, μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. Ὡς δέ σφι πάντα ὑπεξέκειτο, ἔπλωον ἐς τὸ στρατόπεδον. Ἐπεὶ δὲ οἱ ἀπ᾽ Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς νέας, συνέῤῥεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ Πώγωνα τὸν Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. Συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες, ἢ ἐπ᾽ Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολίων πλεύνων. Ναύαρχος μέν νυν ἐπῆν ὡὐτὸς ὅςπερ ἐπ᾽ Ἀρτεμισίῳ, Εὐρυβιάδης ὁ Εὐρυκλείδεω, ἀνὴρ Σπαρτιήτης, οὐ μέντοι γένεός γε τοῦ βασιληΐου ἐών. Νέας δὲ πολλῷ πλείστας τε καὶ ἄριστα πλωούσας παρείχοντο Ἀθηναῖοι. Ἐστρατεύοντο δὲ οἵδε· Ἐκ μὲν Πελοποννήσου Λακεδαιμόνιοι, ἑκκαίδεκα νῆας παρεχόμενοι· Κορίνθιοι δὲ, τὸ αὐτὸ πλήρωμα παρεχόμενοι τὸ καὶ ἐπ᾽ Ἀρτεμισίῳ· Σικυώνιοι δὲ πεντεκαίδεκα παρείχοντο νῆας· Ἐπιδαύριοι δὲ, δέκα· Τροιζήνιοι δὲ, πέντε· Ἑρμιονέες δὲ, τρεῖς, ἐόντες οὗτοι, πλὴν Ἑρμιονέων, Δωρικόν τε καὶ Μακεδνὸν ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος ὕςατα ὁρμηθέντες· οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες, ὑπὸ Ἡρακλέος τε καὶ Μηλιέων ἐκ τῆς νῦν Δωρίδος καλεομένης χώρης ἐξαναςάντες. Οὗτοι μέν νυν Πελοποννησίων ἐςρατεύοντο· οἱ δὲ ἐκ τῆς ἔξω ἠπείρου. Ἀθηναῖοι μὲν, πρὸς πάντας τοὺς ἄλλους παρεχόμενοι νῆας ὀγδώκοντα καὶ ἑκατὸν μοῦνοι· ἐν Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι διὰ τοιόνδε τι πρῆγμα. Ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν περαίην τῆς Βοιωτίης χώρης, πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν οἰκετέων· οὗτοι μέν νυν τούτους σώζοντες ἐλείφθησαν. Ἀθηναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλεομένην ἔσαν Πελασγοὶ, οὐνομαζόμενοι Κραναοί· ἐπὶ δὲ Κέκροπος βασιλῆος ἐπεκλήθησαν Κεκροπίδαι· ἐκδεξαμένου δὲ Ἐρεχθῆος τὴν ἀρχὴν, Ἀθηναῖοι μετωνομάσθησαν· Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι, ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες. Μεγαρέες δὲ, τὠυτὸ πλήρωμα παρείχοντο καὶ ἐπ᾽ Ἀρτεμισίῳ· Ἀμπρακιῶται δε ἑπτὰ νέας ἔχοντες ἐπεβώθησαν· Λευκάδιοι δὲ, τρεῖς, ἔθνος ἐόντες οὗτοι Δωρικὸν ἀπὸ Κορίνθου· νησιωτέων δὲ Αἰγινῆται τριήκοντα παρείχοντο. Ἔσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες· ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἄριστα πλωούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες, ἀπὸ Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. Μετὰ δὲ Αἰγινήτας Χαλκιδέες τὰς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἐπ' Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι, καὶ Ἐρετριέες τὰς ἑπτά· οὗτοι δὲ Ἴωνές εἰσι. Μετὰ δὲ Κεῖοι, τὰς αὐτὰς παρεχόμενοι, ἔθνος ἐὸν Ἰωνικὸν ἀπὸ Ἀθηνέων. Νάξιοι δὲ παρείχοντο τέσσερας· ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων, κατάπερ ὦλλοι νησιῶται, ἀλογήσαντες δὲ τῶν ἐντολέων ἀπίκατο ἐς τοὺς Ἕλληνας, Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου, καὶ τότε τριηραρχέοντος· Νάξιοι δέ εἰσι Ἴωνες ἀπ' Ἀθηνέων γεγονότες. Στυρέες δὲ τὰς αὐτὰς παρείχοντο νῆας, τὰς καὶ ἐπ' Ἀρτεμισίῳ· Κύθνιοι δὲ μίαν καὶ πεντηκόντερον· ἐόντες συναμφότεροι οὗτοι Δρύοπες. Καὶ Σερίφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ ἔδοσαν μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ. Οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ Ἀχαίροντος ποταμοῦ ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ εἰσι οἱ ὁμουρέοντες Ἀμπρακιώτῃσι καὶ Λευκαδίοισι, οἳ ἐξ ἐσχατέων χωρέων ἐστρατεύοντο. Τῶν δὲ ἐκτὸς τουτέων οἰκημένων Κροτωνιῆται μοῦνοι ἔσαν οἳ ἐβώθησαν τῇ Ἑλλάδι κινδυνευούσῃ νηῒ μιῇ, τῆς ἦρχε ἀνὴρ τρὶς πυθιονίκης, Φάϋλλος· Κροτωνιῆται δὲ γένος εἰσὶ Ἀχαιοί. Οἱ μέν νυν ἄλλοι τριήρεας παρεχόμενοι ἐστρατεύοντο· Μήλιοι δὲ καὶ Σίφνιοι καὶ Σερίφιοι πεντηκοντέρους. Μήλιοι μὲν, γένος ἐόντες ἀπὸ Λακεδαίμονος, δύο παρείχοντο· Σίφνιοι δὲ καὶ Σερίφιοι, Ἴωνες ἐόντες ἀπ' Ἀθηνέων, μίαν ἑκάτεροι. Ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, τριηκόσιαι καὶ ἑβδομήκοντα καὶ ὀκτώ. Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο, προθέντος Εὐρυβιάδεω, γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀφεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. Αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον, πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου· ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες, πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμίη ἐπιφανήσεται· πρὸς δὲ τῷ Ἰσθμῷ, ἐς τοὺς ἑωυτῶν ἐξοίσονται. Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων, ἐλήλυθε ἀνὴρ Ἀθηναῖος, ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. Ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν, αὐτέων ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡσαύτως, ἧκέ τε ἐς τὰς Ἀθήνας, καὶ πάντα ἐκεῖνα ἐδηΐου. Ἐνέπρησε δὲ Θέσπιάν τε καὶ Πλάταιαν, πυθόμενος Θηβαίων, ὅτι οὐκ ἐμήδιζον. Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρίψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μήνεσι ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι· καὶ αἱρέουσι ἔρημον τὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιοποίηση Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἄςυ, καὶ τινὰς ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ, καὶ πένητας ἀνθρώπους· οἳ φραξάμενοι τὴν ἀκρόπολιν θύρησί τε καὶ ξύλοισι, ἠμύνοντο τοὺς ἐπιόντας· ἅμα μὲν ὑπ' ἀσθενίης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα· πρὸς δὲ, αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήϊον, τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι· καὶ αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μαντήϊον, καὶ οὐ τὰς νῆας. Οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήϊον Πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε· ὅκως στυπεῖον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. Ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι, καὶ τοῦ φράγματος προδεδωκότος· οὐδὲ λόγους τῶν Πεισιςρατιδέων προςφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο· ἀμυνόμενοι δὲ ἄλλα τε ἀντεμηχανέοντο, καὶ δὴ καὶ, προςιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, ὀλοιτρόχους ἀπίεσαν, ὥςτε Ξέρξεα ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι, οὐ δυναμένον σφεας ἑλεῖν. Χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσησι. Ἔμπροσθεν ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθεν δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε, οὔτ' ἂν ἤλπισε, μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοιπερ ἀποκρήμνου ἐόντος τοῦ χώρου· Ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐῤῥίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω, καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. Τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες, τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες, ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν. Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης, ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα, Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. Ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν· εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. Οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα. Τοῦδε εἵνεκεν τουτέων ἐπεμνήσθην, φράσω. Ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθῆος τοῦ γηγενέος λεγομένου εἶναι νηός, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι· τὰ λόγος παρ' Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. Ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσεως Ἀθηναῖοι οἱ θύειν ὑπὸ βασιλῆος

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

κελευόμενοι, ὡς ἀνέβησαν ἐς τὸ ἱρὸν, ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. Οὗτοι μέν νυν ταῦτα ἔφρασαν. Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὥς σφι ἐξαγγέλθη, ὡς ἔσχε τὰ περὶ τὴν Ἀθηνέων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, ὥςτε ἔνιοι τῶν ςρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ᾽ ἔς τε τὰς νῆας ἐςέπιπτον καὶ ἱστία ἀείροντο ὡς ἀποθευσόμενοι· τοῖσί τε ὑπολειπομένοισι αὐτέων ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. Νύξ τε ἐγίνετο, καὶ οἳ, διαλυθέντες ἐκ τοῦ συνεδρίου, ἐςέβαινον ἐς τὰς νῆας. Ἐνθαῦτα δὴ Θεμιστοκλῆα ἀπικόμενον ἐπὶ τὴν νῆα εἴρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅ, τι σφι εἴη βεβουλευμένον. Πυθόμενος δὲ πρὸς αὐτοῦ, ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμὸν, καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε· « Οὔτ᾽ ἄρα, ἢν ἀπαί-
» ρωσι τὰς νῆας ἀπὸ Σαλαμῖνος, οὐδὲ περὶ μιῆς ἔτι πατρίδος ναυ-
» μαχήσεις. Κατὰ γὰρ πόλις ἕκαστοι τρέψονται· καὶ οὔτε σφέας Εὐ-
» ρυβιάδης κατέχειν δυνήσεται, οὔτε τις ἀνθρώπων ἄλλος ὥςτε μὴ
» οὐ διασκεδασθῆναι τὴν στρατιήν· ἀπολέεταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι.
» Ἀλλ᾽ εἴτις ἐστὶ μηχανὴ, ἴθι, καὶ πειρῶ διαχέαι τὰ βεβουλευμένα,
» ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβουλεύσασθαι, ὥςτε αὐ-
» τοῦ μενέειν. » Κάρτα δὴ τῷ Θεμιςοκλέϊ ἤρεσε ἡ ὑποθήκη, καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος ἤϊε ἐπὶ τὴν νῆα τὴν Εὐρυβιάδεω. Ἀπικόμενος δὲ ἔφη θέλειν οἱ κοινόν τι πρῆγμα συμμῖξαι· ὁ δ᾽ αὐτὸν ἐς τὴν νῆα ἐκέλευε ἐσβάντα λέγειν εἴτι θέλει. Ἐνθαῦτα ὁ Θεμιςοκλέης παρεζόμενός οἱ καταλέγει κεῖνά τε πάντα, τὰ ἤκουσε Μνησιφίλου, ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προςτιθείς· ἐς ὃ ἀνέγνωσε χρηΐζων ἔκ τε τῆς νηὸς ἐκβῆναι, συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον. Ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδεα προθεῖναι τὸν λόγον, τῶν εἵνεκα συνήγαγε τοὺς στρατηγοὺς, πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι, οἷα κάρτα δεόμενος. Λέγοντος δὲ αὐτοῦ, ὁ Κορίνθιος ςρατηγὸς Ἀδείμαντος ὁ Ὠκύτου εἶπε· « Ὦ Θεμι-
» στόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιστάμενοι ῥαπίζονται. » Ὁ δὲ, ἀπολυόμενος, ἔφη. « Οἱ δέ γε ἐγκαταλειπόμενοι οὐ στεφανεῦνται. » Τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο· πρὸς δὲ τὸν Εὐρυβιάδεα ἔλεγε ἐκείνων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαίρωσι ἀπὸ Σαλαμῖνος, διαδρήσονται· παρεόντων γὰρ τῶν συμμάχων οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε· « Ἐν σοὶ νῦν ἐστι σῶσαι τὴν Ἑλλάδα,
» ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθόμενος
» τουτέων τοῖσι λέγουσι ἀναζεύξῃς πρὸς τὸν Ἰσθμὸν τὰς νῆας· ἀντί-
» θες γὰρ ἑκάτερον, ἀκούσας. Πρὸς μὲν τῷ Ἰσθμῷ συμβάλλων ἐν
» πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, ἐς ὃ ἥκιστα ἡμῖν σύμφορόν
» ἐστι, νῆας ἔχουσι βαρυτέρας καὶ ἀριθμὸν ἐλάσσονας· τοῦτο δὲ,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ Αἴγιναν, ἤνπερ καὶ τὰ ἀλ-
» λα εὐτυχήσωμεν. Ἅμα γὰρ τῷ ναυτικῷ στρατῷ αὐτέων ἕψεται καὶ
» ὁ πεζὸς στρατός. Καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόν-
» νησον, κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλλάδι. Ἢν δὲ τὰ ἐγὼ λέγω
» ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηςὰ εὑρήσεις. Πρῶτα μὲν ἐν ςεινῷ
» συμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλὰς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέ-
» μου ἐκβαίνῃ, πολλὸν κρατήσομεν. Τὸ γὰρ ἐν ςεινῷ ναυμαχέειν πρὸς
» ἡμέων ἐστί· ἐν εὐρυχωρίῃ δὲ, πρὸς ἐκείνων. Αὖτις δὲ Σαλαμὶς περι-
» γίνεται, ἐς τὴν ἡμῖν ὑπέκκειται τέκνα τε καὶ γυναῖκες. Καὶ μὴν καὶ
» τόδε ἐν αὐτοῖσι ἔνεςι, τοῦ καὶ περιέχεσθε μάλιςα· ὁμοίως αὐτοῦ τε
» μένων προναυμαχήσεις Πελοποννήσου καὶ πρὸς τῷ Ἰσθμῷ. Οὐδέ σφε-
» ας, εἴπερ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελοπόννησον. Ἢν δέ γε καὶ τὰ
» ἐγὼ ἐλπίζω γένηται, καὶ νικήσωμεν τῇσι νηυσὶ, οὔτε ἡμῖν ἐς τὸν Ἰσθμὸν
» παρέσονται οἱ βάρβαροι, οὔτε προβήσονται ἑκαςέρω τῆς Ἀττικῆς,
« ἀπίασί τε οὐδενὶ κόσμῳ, Μεγάροισί τε κερδανέομεν περιεοῦσι, καὶ
» Αἰγίνῃ καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐςι τῶν ἐχθρῶν κατύπερθε
« γενέσθαι. Οἰκότα μέν νυν βουλευομένοισι ἀνθρώποισι ὡς τὸ ἐπίπαν
» ἐθέλει γίνεσθαι· μὴ δὲ οἰκότα βουλευομένοισι οὐκ ἐθέλει οὐδὲ ὁ
» θεὸς προςχωρέειν πρὸς τὰς ἀνθρωπηΐας γνώμας.» Ταῦτα λέγοντος
Θεμιςοκλέους, αὖτις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾷν τε κελεύων, τῷ μὴ ἔστι πατρὶς, καὶ Εὐρυβιάδεα οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλῆα παρεχόμενον οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. Ταῦτα δέ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. Τότε δὴ ὁ Θεμιστοκλέης κεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε· ἑωυτοῖσί τε ἐδήλου λόγῳ ὡς εἴη καὶ πόλις καὶ γῆ μέζων ἤπερ κείνοισι, ἔς' ἂν διηκόσιαι νῆές σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων αὐτοὺς ἐπιόντας ἀποκρούσεσθαι. Σημαίνων δὲ ταῦτα, τῷ λόγῳ διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεςραμμένα· «Σὺ εἰ μενέεις αὐτοῦ, καὶ μένων ἔσεαι
» ἀνὴρ ἀγαθός —· εἰ δὲ μὴ, ἀνατρέψεις τὴν Ἑλλάδα. Τὸ πᾶν γὰρ
» ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νῆες. Ἀλλ' ἐμοὶ πείθεο. Εἰ δὲ ταῦτα
» μὴ ποιήσεις, ἡμεῖς μὲν, ὡς ἔχομεν, ἀναλαβόντες τοὺς οἰκέτας, κο-
» μιεύμεθα ἐς Σίριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαιοῦ
» ἔτι, καὶ τὰ λόγια λέγει ὑπ' ἡμέων αὐτὴν δέειν κτισθῆναι· ὑμεῖς δὲ,
» συμμάχων τοιῶνδε μουνωθέντες, μεμνήσεσθε τῶν ἐμῶν λόγων.»
Ταῦτα δὲ Θεμιστοκλῆος λέγοντος, ἀνεδιδάσκετο Εὐρυβιάδης. Δοκέειν δέ μοι, ἀῤῥωδήσας μάλιστα τοὺς Ἀθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νῆας. Ἀπολιπόντων γὰρ Ἀθηναίων, οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. Ταύτην δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαναυμαχέειν. Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα, ἔπεσι ἀκροβολισάμενοι, ἐπεί τε Εὐρυβιάδῃ ἔδοξε

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἡμέρη τε ἐγίνετο, καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. Ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι, καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. Ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα· εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο· ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλλους Αἰακίδας νῆα ἀπέϛελλον ἐς Αἴγιναν. Ἔφη δὲ Δικαῖος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος, φυγάς τε καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν χρόνον, ἐπεί τε ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ πεζοῦ ϛρατοῦ τοῦ Ξέρξεω, ἐοῦσα ἐρῆμος Ἀθηναίων, τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ ἐν τῷ Θριασίῳ πεδίῳ· ἰδεῖν δὲ κονιορτὸν χωρέοντα ἀπὸ Ἐλευσῖνος, ὡς ἀνδρῶν μάλιστά κῃ τρισμυρίων· ἀποθωυμάζειν τέ σφεας τὸν κονιορτὸν, ὅτεών κοτε εἴη ἀνθρώπων, καὶ πρόκα τε φωνῆς ἀκούειν, καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυϛικὸν ἴακχον. Εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν τῶν ἐν Ἐλευσῖνι γινομένων τὸν Δημάρητον· εἴρεσθαί τε αὐτὸν, ὅ, τι τὸ φθεγγόμενον εἴη τοῦτο· Αὐτὸς δὲ εἶπαι· « Δημάρητε, οὐκ ἔϛι ὅκως οὐ μέγα τι σῖνος ἔϛαι τῇ βασιλῆος ϛρατιῇ. Τάδε γὰρ ἀρίδηλα, ἐρήμου ἐούσης τῆς Ἀττικῆς, ὅτι θεῖον τὸ » φθεγγόμενον, ἀπὸ Ἐλευσῖνος ἰὸν ἐς τιμωρίην Ἀθηναίοισί τε καὶ » τοῖσι συμμάχοισι· καὶ ἢν μέν γε κατασκήψῃ ἐς τὴν Πελοπόννησον, » κίνδυνος αὐτῷ τε βασιλέϊ καὶ τῇ ϛρατιῇ τῇ ἐν τῇ ἠπείρῳ ἔϛαι· » ἢν δὲ ἐπὶ τὰς νῆας τράπηται τὰς ἐν Σαλαμῖνι, τὸν ναυτικὸν ϛρατὸν κινδυνεύσει βασιλεὺς ἀποβαλέειν. Τὴν δὲ ὁρτὴν ταύτην ἄγουσι » Ἀθηναῖοι ἀνὰ πάντα ἔτεα τῇ Μητρὶ καὶ τῇ Κούρῃ, καὶ αὐτέων τε » ὁ βουλόμενος καὶ τῶν ἄλλων Ἑλλήνων μυεῖται· καὶ τὴν φωνὴν, » τῆς ἀκούεις, ἐν ταύτῃ τῇ ὁρτῇ ἰακχάζουσι. » Πρὸς ταῦτα εἶπαι Δημάρητον· « Σίγα τε καὶ μηδενὶ ἄλλῳ τὸν λόγον τοῦτον εἴπῃς. » Ἢν γάρ τοι ἐς βασιλῆα ἀνενειχθῇ τὰ ἔπεα ταῦτα, ἀποβαλέεις τὴν » κεφαλήν· καί σε οὔτε ἐγὼ δυνήσομαι ῥύσασθαι, οὔτ' ἄλλος ἀνθρώ» πων οὐδὲ εἷς. Ἀλλ' ἔχ' ἥσυχος. Περὶ δὲ ϛρατιῆς τῆσδε θεοῖσι » μελήσει. » Τὸν μὲν δὴ ταῦτα παραινέειν. Ἐκ δὴ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι νέφος, καὶ μεταρσιωθὲν φέρεσθαι ἐπὶ Σαλαμῖνος ἐπὶ τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων. Οὕτω δὲ αὐτοὺς μαθεῖν, ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω ἀπολέεσθαι μέλλοι. Ταῦτα μὲν Δικαῖος ὁ Θεοκύδεος ἔλεγε, Δημαρήτου τε καὶ ἄλλων μαρτύρων καταπτόμενος. Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν ϛρατὸν ταχθέντες, ἐπειδὴ ἐκ Τρηχῖνος, θεησάμενοι τὸ τρῶμα τὸ Λακωνικὸν, διέβησαν ἐς τὴν Ἱστιαίην, ἐπισχόντες ἡμέρας τρεῖς, ἔπλωον δι' Εὐρίπου, καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. Ὡς μὲν ἐμοὶ δοκέειν, οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν ἐσέβαλον ἐς τὰς Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νηυσὶ ἀπικόμενοι, ἢ ἐπί τε Σηπιάδα ἀπίκοντο καὶ ἐς Θερμοπύλας.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

Ἀντιθήσω γὰρ τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτέων ἀπολομένοισι, καὶ τῇσι ἐν Θερμοπύλῃσι καὶ τῇσι ἐπ᾽ Ἀρτεμισίῳ ναυμαχίῃσι, τούςδε τοὺς τότε οὔκω ἑπομένους βασιλέϊ, Μηλιέας τε καὶ Δωριέας, καὶ Λοκροὺς, καὶ Βοιωτοὺς, πανστρατιῇ ἑπομένους, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων· καὶ μαλα Καρυστίους τε καὶ Ἀνδρίους, καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων, τῶν ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. Ὅσῳ γὰρ δὴ προέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεά οἱ εἵπετο. Ἐπεὶ ὦν ἀπίκατο ἐς τὰς Ἀθήνας πάντες οὗτοι πλὴν Παρίων· Πάριοι δὲ, ὑπολειφθέντες ἐν Κύθνῳ, ἐκαραδόκεον τὸν πόλεμον, κῇ ἀποβήσεται· οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νῆας, ἐθέλων σφι συμμῖξαί τε καὶ πυθέσθαι τῶν ἐπιπλωόντων τὰς γνώμας. Ἐπεὶ δὲ ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι καὶ ταξίαρχοι ἀπὸ τῶν νηῶν, καὶ ἵζοντο, ὥς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε· πρῶτος μὲν ὁ Σιδώνιος βασιλεὺς, μετὰ δὲ ὁ Τύριος, ἐπεὶ δὲ ὦλλοι. Ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον, εἰρώτα ἀποπειρώμενος ἑκάστου, εἰ ναυμαχίην ποιέοιτο. Ἐπεὶ δὲ περιϊὼν εἰρώτα ὁ Μαρδόνιος ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ μὲν δὴ ἄλλοι κατὰ τὠυτὸ γνώμην ἐξεφέροντο κελεύοντες ναυμαχίην ποιέεσθαι, Ἀρτεμισίη δὲ τάδε ἔφη. «Εἶπαί μοι πρὸς βασιλῆα, Μαρδόνιε, ὡς ἐγὼ τάδε » λέγω· Οὔτε κακίστην γενομένην ἐν τῇσι ναυμαχίῃσι τῇσι πρὸς » Εὐβοίῃ, οὔτε ἐλάχιστα ἀποδεξαμένην, δέσποτα, τὴν ἐοῦσαν γνώ» μην με δίκαιόν ἐστιν ἀποδείκνυσθαι, τὰ τυγχάνω φρονέουσα ἄρι» στα ἐς πρήγματα τὰ σά. Καί τοι τάδε λέγω, φείδεο τῶν νηῶν, » μηδὲ ναυμαχίην ποιέο. Τοὶ γὰρ ἄνδρες τῶν σῶν ἀνδρῶν κρέσ» σονες τοσοῦτό εἰσι κατὰ θάλασσαν, ὅσον ἄνδρες γυναικῶν. Τί δὲ » πάντως δέει σε ναυμαχίῃσι ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς » Ἀθήνας, τῶνπερ εἵνεκα ὡρμήθης στρατεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην » Ἑλλάδα; ἐμποδὼν δέ τοι ἵσταται οὐδείς· οἳ δέ τοι ἀντέστησαν, » ἀπήλλαξαν οὕτω, ὡς κείνους ἔπρεπε. Τῇ δὲ ἐγὼ δοκέω ἀποβή» σεται τὰ τῶν ἀντιπολέμων πρήγματα, τοῦτο φράσω. Ἢν μὲν μὴ » ἐπειχθῇς ναυμαχίην ποιεύμενος, ἀλλὰ τὰς νῆας αὐτοῦ ἔχῃς πρὸς » γῇ μένων, ἢ καὶ προβαίνων ἐς τὴν Πελοπόννησον, εὐπετέως τοι, » δέσποτα, χωρήσει τὰ νοέων ἐλήλυθας. Οὐ γὰρ οἷοί τε πολλὸν » χρόνον εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλά σφεας διασκεδᾷς, κατὰ » πόλις δὲ ἕκαστοι φεύξονται. Οὔτε γὰρ σῖτος πάρα σφίσι ἐν τῇ » νήσῳ ταύτῃ, ὡς ἐγὼ πυνθάνομαι, οὔτε αὐτοὺς οἰκὸς, ἢν σὺ ἐπὶ τὴν » Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατὸν, ἀτρεμιεῖν τοὺς ἐκεῖθεν » αὐτέων ἥκοντας· οὐδέ σφι μελήσει πρὸ τῶν Ἀθηναίων ναυμαχέειν. » Ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαίνω, μὴ ὁ ναυτικὸς

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» στρατὸς κακωθεὶς τὸν πεζὸν προσδηλήσηται. Πρὸς δὲ, ὦ βασιλεῦ,
» καὶ τόδε ἐς θυμὸν βαλεῦ, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων
» κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. Σοὶ δὲ,
» ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων, κακοὶ δοῦλοί εἰσι, οἳ ἐν συμμάχων
» λόγῳ λέγονται εἶναι, ἐόντες Αἰγύπτιοί τε καὶ Κύπριοι, καὶ Κίλι-
» κες, καὶ Πάμφυλοι, τῶν ὄφελός ἐςι οὐδέν.» Ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἔσαν εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο τοὺς λόγους, ὡς κακόν τι πεισομένης πρὸς βασιλῆος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι· οἱ δὲ ἀγαιόμενοί τε καὶ φθονέοντες αὐτῇ, ἅτε ἐν πρώτοισι τετιμημένης διὰ πάντων τῶν συμμάχων, ἐτέρποντο τῇ ἀνακρίσι, ὡς ἀπολεομένης αὐτῆς. Ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξεα, κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης, καὶ νομίζων ἔτι πρότερον σπουδαίην εἶναι, τότε πολλῷ μᾶλλον αἴνεε. Ὅμως δὲ τοῖσι πλέοσι πείθεσθαι ἐκέλευε, τάδε καταδόξας. Πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν, ὡς οὐ παρεόντος αὐτοῦ, τότε δὲ αὐτὸς παρεσκεύαςο θεήσασθαι ναυμαχέοντας. Ἐπειδὴ δὲ παρήγγελλον ἀναπλώειν, ἀνῆγον τὰς νῆας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν διαταχθέντες κατ' ἡσυχίην. Τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη ναυμαχίην ποιέεσθαι· νὺξ γὰρ ἐπεγένετο· οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑςεραίην. Τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀῤῥωδίη, οὐκ ἥκιςα δὲ τοὺς ἀπὸ Πελοποννήσου. Ἀῤῥώδεον δὲ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν· νικηθέντες τε ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες τὴν ἑωυτῶν ἀφύλακτον. Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καί τοι τὰ δυνατὰ παντα ἐμεμηχάνητο, ὅκως κατ' ἤπειρον μὴ ἐσβάλλοιεν οἱ βάρβαροι. Ὡς γὰρ ἐπύθοντο τάχιςα Πελοποννήσιοι, τοὺς ἀμφὶ Λεωνίδεα ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες ἐκ τῶν πολίων, ἐς τὸν Ἰσθμὸν ἵζοντο· καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. Ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ, καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδὸν, μετὰ τοῦτο ὥς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. Ἅτε δὴ ἐουσέων μυριαδέων πολλέων, καὶ παντὸς ἀνδρὸς ἐργαζομένου, ἤνετο τὸ ἔργον· καὶ γὰρ λίθοι, καὶ πλίνθοι, καὶ ξύλα, καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον οὐδένα χρόνον οἱ βοηθήσαντες ἐργαζόμενοι, οὔτε νυκτὸς, οὔτε ἡμέρης. Οἱ δὲ βωθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ οἵδε ἔσαν Ἑλλήνων· Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες, καὶ Ἠλεῖοι, καὶ Κορίνθιοι, καὶ Σικυώνιοι, καὶ Ἐπιδαύριοι, καὶ Φλιάσιοι, καὶ Τροιζήνιοι, καὶ Ἑρμιονέες. Οὗτοι μὲν ἔσαν οἱ βοηθήσαντες, καὶ ὑπεραῤῥωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ· τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη. Οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἑπτά. Τουτέων δὲ τὰ μὲν δύο, αὐτόχθονα ἐόντα, κατὰ χώρην ἵδρυται νῦν, τῇ καὶ τοπάλαι οἴκεον, Ἀρκάδες τε καὶ Κυνούριοι· Ἓν δὲ ἔθνος τὸ Ἀχαϊκὸν ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωυτῶν· οἰκέει δὲ τὴν ἀλλοτρίην. Τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα ἐπήλυδά ἐστι, Δωριέες τε καὶ Αἰτωλοὶ, καὶ Δρύοπες, καὶ Λήμνιοι. Δωριέων μὲν πολλαί τε καὶ δόκιμοι πόλις· Αἰτωλῶν δε Ἦλις μούνη· Δρυόπων δὲ Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακωνικῇ· Λημνίων δὲ Παρωρεῆται πάντες. Οἱ δὲ Κυνούριοι, αὐτόχθονες ἐόντες, δοκέουσι μοῦνοι εἶναι Ἴωνες· ἐκδεδωρίευνται δὲ, ὑπό τε Ἀργείων ἀρχόμενοι καὶ τοῦ χρόνου, ἐόντες Ὀρνεῆται καὶ περίοικοι. Τουτέων ὦν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ πόλις, πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου ἐκατέατο· εἰ δὲ ἐλευθέρως ἔξεστι εἶπαι, ἐκ τοῦ μέσου κατήμενοι, ἐμήδιζον. Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη δρόμον θέοντες, καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι· οἱ δὲ ἐν Σαλαμῖνι ὅμως ταῦτα πυνθανόμενοι ἀῤῥώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ τῇ Πελοποννήσῳ. Ἕως μὲν δὴ αὐτέων ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο, θῶυμα ποιεύμενος τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ ἐξεῤῥάγη ἐς τὸ μέσον, σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτέων· οἱ μὲν, ὡς ἐς τὴν Πελοπόννησον χρεὼν εἴη ἀποπλώειν, καὶ περὶ ἐκείνης κινδυνεύειν, μηδὲ πρὸ χώρης δορυαλώτου μένοντας μάχεσθαι· Ἀθηναῖοι δὲ, καὶ Αἰγινῆται, καὶ Μεγαρέες, αὐτοῦ μένοντας ἀμύνασθαι. Ἔνθαῦτα Θεμιστοκλέης, ὡς ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου· ἐξελθὼν δὲ πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ, ἐντειλάμενος τὰ λέγειν χρεὼν, τῷ οὔνομα μὲν ἦν Σίκιννος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλῆος παίδων· τὸν δὴ ὕστερον τουτέων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, καὶ χρήμασι ὄλβιον. Ὃς τότε πλοίῳ ἀπικόμενος, ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν βαρβάρων τάδε· « Ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρη τῶν ἄλλων Ἑλλή-
» νων (τυγχάνει γὰρ φρονέων τὰ βασιλῆος, καὶ βουλόμενος μᾶλ-
» λον τὰ ὑμέτερα κατύπερθε γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων πρήγματα)
» φράσοντα, ὅτι οἱ Ἕλληνες δρησμὸν βουλεύονται καταῤῥωδηκότες·
» καὶ νῦν παρέχει κάλλιστον ὑμέας ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν
» μὴ περιΐδητε διαδράντας αὐτούς. Οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέ-
» ουσι, οὔτ' ἔτι ἀντιστήσονται ὑμῖν, πρὸς ἑωυτούς τε σφέας ὄψεσθε
» ναυμαχέοντας τοὺς τὰ ὑμέτερα φρονέοντας καὶ τοὺς μή. » Ὁ μὲν, ταῦτά σφι σημήνας, ἐκποδὼν ἀπαλλάσσετο. Τοῖσι δὲ ὡς πιστὰ ἐγένετο τὰ ἀγγελθέντα, τοῦτο μὲν ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ἀπεβίβασαν· τοῦτο δὲ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κάτεχόν τε μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. Τῶνδε δὲ εἵνεκεν ἀνῆγον τὰς νῆας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγέειν ἐξῇ, ἀλλ' ἀπολαμφθέντας ἐν τῇ Σαλαμῖνι δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων. Ἐς δὲ τὴν νησίδα τὴν Ψυττάλειαν καλεομένην ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκεν, ὡς ἐπεὰν γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ των ναυηγίων, (ἐν γὰρ δὴ πόρῳ τῆς ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἔκειτο ἡ νῆσος), ἵνα τοὺς μὲν περιποιῶσι, τοὺς δὲ διαφθείρωσι. Ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι. Οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς, οὐδὲν ἀποκοιμηθέντες, παραρτέοντο. Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν, ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας.

Ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν  
Νηυσὶ γεφυρώσωσι, καὶ εἰναλίην Κυνόσουραν,  
Ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,  
Δῖα Δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱὸν,  
Δεινὸν μαιμώοντα, δοκεῦντ' ἀνὰ πάντα πιθέσθαι.  
Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης  
Πόντον φοινίξει. Τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ  
Εὐρύοπα Κρονίδης ἐπάγει, καὶ πότνια Νίκη.

Ἐς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω, οὔτε παρ' ἄλλων ἐνδέκομαι. Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων πολλός. Ἤδεσαν δὲ οὔκω, ὅτι σφέας περιεκυκλέοντο τῇσι νηυσὶ οἱ βάρβαροι· ἀλλ' ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι. Συνεστηκότων δὲ τῶν στρατηγῶν, ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου· τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. Οὗτος ὡ'νὴρ στὰς ἐπὶ τὸ συνέδριον, ἐξεκαλέετο Θεμιστοκλῆα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ ταμάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ συμμίξαι. Προακηκόεε δὲ, ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμόν. Ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε. « Ἡμέας στασιάζειν χρεών ἐστι ἔν τε τῷ ἄλλῳ καιρῷ, καὶ δὴ » καὶ ἐν τῷδε, περὶ τοῦ ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα » ἐργάσεται. Λέγω δέ τοι, ὅτι ἴσον ἐστὶ πολλά τε καὶ ὀλίγα λέγειν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

» περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. Ἐγὼ γὰρ αὐτόπτης
» τοι λέγω γενόμενος ὅτι νῦν, οὐδ' ἢν θέλωσι, Κορίνθιοί τε καὶ αὐ-
» τὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ
» τῶν πολεμίων κύκλῳ. ἀλλ' ἐσελθών σφι ταῦτα σήμηνον.» Ὁ δὲ
ἀμείβετο τοῖσδε· «Κάρτα τε χρηστὰ διακελεύεαι, καὶ εὖ ἤγγειλας.
» τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις.
» Ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. Ἔδεε γάρ, ὅτε οὐκ
» ἑκόντες ἤθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παρα-
» στήσασθαι. Σὺ δέ, ἐπείπερ ἥκεις, χρηστὰ ἀπαγγέλλων, αὐτός σφι
» ἄγγειλον. Ἢν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν, καὶ οὐ
» πείσω, ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα· ἀλλά σφι σήμηνον
» αὐτὸς παρελθὼν ὡς ἔχει. Ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται,
» ταῦτα δὴ τὰ κάλλιστα· ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὅμοιον
» ἡμῖν ἔσται. Οὐ γὰρ ἔτι διαδρήσονται, εἴπερ περιεχόμεθα πάντα-
» χόθεν, ὡς σὺ λέγεις.» Ταῦτα ἔλεγε παρελθὼν ὁ Ἀριστείδης, φάμε-
νος ἐξ Αἰγίνης τε ἥκειν, καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας· περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνεβούλευε ὡς ἀλεξησομένους. Καὶ ὁ μὲν, ταῦτα εἴπας, μετεστήκεε· τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφισβασίη· οἱ πλεῦνες γὰρ τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα. Ἀπιστεόντων δὲ τουτέων, ἧκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀληθηΐην πᾶσαν. Διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφησαν Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι. Σὺν δὲ ὧν ταύτῃ τῇ νηῒ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα καὶ τῇ πρότερον ἐπ' Ἀρτεμίσιον τῇ Λημνίῃ ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νῆας· δύο γὰρ δὴ νηῶν τότε κατέδεε ἐς τὸν ἀριθμόν. Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἠώς τε δὴ διέφαινε, καὶ οἳ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης, τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἥσσοσι ἀντιτιθέμενα. Ὅσα δὲ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται, παραινέσας δὴ τουτέων τὰ κρέσσω αἱρέεσθαι, καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νῆας. Καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἧκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. Ἐνθαῦτα ἀνῆγον τὰς νῆας ἁπάσας οἱ Ἕλληνες. Ἀναγομένοισι δέ σφι αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. Οἱ μὲν δὴ ἄλλοι Ἕλληνες ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς νῆας· Ἀμεινίης δὲ Παλληνεύς, ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς νηῒ ἐμβάλλει. Συμπλακείσης δὲ τῆς νηός, καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βοηθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τῆς ναυμαχίης τὴν ἀρχήν· Αἰγινῆται δὲ, τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. Λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη· φανεῖσαν δὲ διακελεύσασθαι, ὥς τε καὶ ἅπαν ἀκοῦσαι τὸ στρατόπεδον τῶν Ἑλλήνων, ὀνειδίσασαν πρότερον τάδε· « Ὦ δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούεσθε; » Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες· οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας· κατὰ δὲ Λακεδαιμονίους Ἴωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. Ἐθελοκάκεον μέντοι αὐτέων κατὰ τὰς Θεμιστοκλέους ἐντολὰς ὀλίγοι, οἱ δὲ πλεῦνες οὔ. Ἔχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι τῶν νῆας Ἑλληνίδας ἑλόντων· χρήσομαι δὲ αὐτοῖσι οὐδὲν, πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος, καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων· τοῦδε εἵνεκα μέμνημαι τουτέων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε, καταστησάντων τῶν Περσέων, Φύλακος δὲ εὐεργέτης βασιλῆος ἀνεγράφη καὶ χώρῃ οἱ ἐδωρήθη πολλή. Οἱ δ' εὐεργέται τοῦ βασιλῆος ὀροσάγγαι καλέονται Περσιστί. Περὶ μέν νυν τούτους οὕτω εἶχε. Τὸ δὲ πλῆθος τῶν νηῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο, αἱ μὲν ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ ὑπὸ Αἰγινητέων. Ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι, οὔτε σὺν νόῳ ποιεόντων οὐδὲν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι, οἷόν περ ἀπέβη. Καίτοι ἔσαν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν, ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην· ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θεήσεσθαι βασιλῆα. Κατὰ μὲν δὴ τοὺς ἄλλους οὐκ ἔχω μετεξετέρους εἰπαι ἀτρεκέως, ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλῆϊ. Ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλῆος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νηὸς Ἀττικῆς· καὶ ἣ οὐκ ἔχουσα διαφυγέειν, ἔμπροσθεν γὰρ αὐτῆς ἔσαν ἄλλαι νῆες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα, ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ. Διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς φέρουσα ἐνέβαλε νηῒ φιλίῃ, ἀνδρῶν τε Καλυνδέων, καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλῆος Δαμασιθύμου. Εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε, ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἰπαι, οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. Ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη, διπλᾶ ἑωυτὴν ἀγαθὰ ἐργάσατο. Ὅ, τε γὰρ τῆς Ἀττικῆς νηὸς τριήραρχος, ὡς εἶδέ μιν ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νῆα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι, ἢ αὐτομολέειν ἐκ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

τῶν βαρβάρων, καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο. Τοῦτο μὲν, τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι, διαφυγέειν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δὲ, συνέβη, ὥςτε κακὸν ἐργασαμένην ἀπὸ τουτέων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. Λέγεται γὰρ, βασιλῆα θηεύμενον μαθεῖν τὴν νῆα ἐμβαλοῦσαν· καὶ δή τινα εἶπαι τῶν παρεόντων· « Δέσποτα, ὁρᾷς Ἀρτεμισίην, ὡς εὖ ἀγωνίζεται, » καὶ νῆα τῶν πολεμίων κατέδυσε; » καὶ τὸν ἐπείρεσθαι, εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον· καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νηὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ἠπιστέατο εἶναι πολεμίην. Τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νηὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἶπαι λέγεται πρὸς τὰ φραζόμενα· « Οἱ μὲν » ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες. » Ταῦτα μὲν Ξέρξην φασὶ εἶπαι. Ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεὸς, ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ ὀνομαστοὶ Περσέων καὶ Μήδων, καὶ τῶν ἄλλων συμμάχων· ὀλίγοι δέ τινες καὶ Ἑλλήνων. Ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νῆες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον· τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. Ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. Οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρώμενοι, ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον. Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. Τῶν τινες Φοινίκων, τῶν αἱ νῆες διεφθαρέατο, ἐλθόντες παρὰ βασιλῆα, διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νῆες, ὡς προδόντων. Συνήνεικε ὦν οὕτω ὥςτε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλλοντας λαβεῖν τοιόνδε μισθόν. Ἔτι τουτέων ταῦτα λεγόντων, ἐνέβαλε νηῒ Ἀττικῇ Σαμοθρηϊκίη νηῦς. Ἥ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηΐκων τὴν νῆα. Ἅτε δὴ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήϊκες, τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νηὸς βάλλοντες ἀπήραξαν, καὶ ἀπέβησάν τε καὶ ἔσχον αὐτήν. Ταῦτα γενόμενα τοὺς Ἴωνας ἐῤῥύσατο. Ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας, οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιώμενος, καί σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι τοὺς ἀμείνονας διαβάλλωσι. Ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖνος, τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα· καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν. Πρὸς δέ τι καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

..εβάλετο φίλος ἐὼν Ἀριαράμνης ἀνὴρ Πέρσης παρεὼν τούτου τοῦ Φοινικηΐου πάθεος. Οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο. Τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων, καὶ ἐκπλεόντων πρὸς τὸ Φάληρον, Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷ ἔργα ἀπεδέξαντο λόγοἄξια. Οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀντισαμένας καὶ τὰς φευγούσας τῶν νηῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας· ὅκως δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας. Ἐνθαῦτα συνεκύρεον νῆες ἥτε Θεμιστοκλέους διώκουσα νῆα, καὶ ἡ Πολυκρίτου τοῦ Κρίου, ἀνδρὸς Αἰγινήτεω, νηῒ ἐμβαλοῦσα Σιδωνίῃ, ἥπερ εἷλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην ἐπ' ἧς ἔπλεε Πυθέης ὁ Ἰσχενόου· τὸν οἱ Πέρσαι κατακοπέντα ἀρετῆς εἵνεκα εἶχον ἐν τῇ νηῒ ἐκπαγλεόμενοι. Τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι ἥλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. Ὡς δὲ ἐσεῖδε τὴν νῆα τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω, τὸ σημήϊον ἰδὼν τῆς στρατηγίδος· καὶ βώσας τὸν Θεμιστοκλῆα, ἐπεκερτόμησε ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. Ταῦτα μέν νυν νηῒ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέῤῥιψε ἐς Θεμιστοκλῆα. Οἱ δὲ βάρβαροι, τῶν αἱ νῆες περιεγένοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν. Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται· ἐπεὶ δὲ Ἀθηναῖοι· ἀνδρῶν δὲ Πολύκριτός τε ὁ Αἰγινήτης, καὶ Ἀθηναῖοι Εὐμένης τε ὁ Ἀναγυράσιος καὶ Ἀμεινίης Παλληνεὺς, ὃς καὶ Ἀρτεμισίην ἐπεδίωξε. Εἰ μέν νυν ἔμαθε, ὅτι ἐν ταύτῃ πλώει ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν, ἢ καὶ αὐτὸς ἥλω. Τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρακεκέλευστο· πρὸς δὲ καὶ ἄεθλον ἔκειτο μύριαι δραχμαὶ, ὃς ἄν μιν ζωὴν ἕλῃ· δεινὸν γάρ τι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. Αὕτη μὲν δὴ, ὡς πρότερον εἴρηται, διέφυγε. Ἔσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νῆες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ. Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθηναῖοι αὐτίκα κατ' ἀρχὰς, ὡς συνέμισγον αἱ νῆες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον, οἴχεσθαι φεύγοντα· ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν ὡσαύτως οἴχεσθαι. Ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Ἀθηναίης Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ· τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι. Τῇδε δὲ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα. Ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νηῶν, τοὺς ἀπὸ τοῦ κέλητος λέγειν τάδε· « Ἀδείμαντε,
» σὺ μὲν ἀποστρέψας τὰς νέας ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς
» Ἕλληνας· οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον αὐτοὶ ἠρῶντο ἐπικρατῆσαι
» τῶν ἐχθρῶν.» Ταῦτα λεγόντων, ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνή-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ζωσιμαία Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

σκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ἕλληνες. Οὕτω δὴ ἀποστρέψαντα τὴν νῆα αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατόπεδον. Τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Ἀθηναίων. Οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισί σφεας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς. Ἀριστείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τουτέων ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε. Παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας. Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἔσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλῆα. Τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠιόνα τὴν καλεομένην Κωλιάδα· ὥστε ἀποπλῆσαι τὸν χρησμὸν, τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τουτέων ἐν χρησμῷ Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας·

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι.

Τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλῆος ἔσεσθαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
"Ζωσιμαία" Δημόσια Κεντρική Βιβλιοθήκη Ιωαννίνων